Α′. *9* Περὶ τῆς ὄρνης τῆς χήρας V Β′ θαῦμα δεύτερον C *10* δὲ om. C / ἐζωότρεφεν C *11* ἀφιέρωσιν προσκομίσαι αὐτὴν βουλομένη V ἀφιερῶσαι προσφορὰν C *12* ἁρπάσας C / ἀπέτρεχεν V ἀνέφερεν C / ἐπιτρέχουσα V δραμοῦσα C *13* τοῦ τρέχειν V πρὸς τὸ οὖς C *13-14* καὶ σφάζει V σφάξας C *14* καὶ κατεσθίει V εἴσθυεν C / καταπεφρονικὼς τοῦ μάρτυρος V περιφρονήσας τὸν μάρτυρα C *15* ἔτι V ἡ μετὰ C / οὔσης ἐν τῷ στόματι αὐτοῦ V ἡδονὴ C (***Ψαλμ.*** 77,30) *16* τὸν om. C / ὃν add. αὐτὸς C / αὐτοῦ V αὐτῷ C

χρείας, ἐξαίφνης βλέπει νεκρόν. Ἐπιγνωκότος οὖν κατὰ ἀγανάκτησιν τοῦ
μάρτυρος τοῦτο συμβαίνειν αὐτῷ, λαμβάνει δύο ὄρνεις καὶ τὴν στρῶσιν
3 τοῦ ἑαυτοῦ ἵππου καὶ ἦλθεν εἰς τὸν οἶκον τοῦ ἁγίου, ἐξομολογούμενος
καὶ ἱκετεύων μετὰ δακρύων τὸν ἅγιον καὶ λέγων· «μίαν ὄρνιν ἥρπασα ἅγιε·
ἰδοὺ λάβε δύο καὶ ἀπόδος μοι τὸν ἵππον μου». Πρὸ δὲ τοῦ παραγενέσθαι
6 αὐτὸν ἐν τῷ ναῷ, συνέβη τινὰ προσαγαγεῖν ἵππον τῷ μάρτυρι καὶ προ-
εφανέρωσεν ὁ ἅγιος τῷ οἰκονόμῳ καὶ τῷ προσμοναρίῳ περὶ τοῦ στρατι-
ώτου, ὅτι μέλλει ἔρχεσθαί τις τοιόνδε σχῆμα ἔχων, λαβὼν παρ' αὐτοῦ τὴν
9 ὄρνιν, ἀνταπόδος τὸν προσενεχθέντα μοι ἵππον. Ὅπερ καὶ ἐποίησεν καὶ
ἀπῆλθεν ὁ ἄνθρωπος ἀπολαβὼν τὸν ἵππον, ἀπευχαριστῶν τῷ Θεῷ καὶ τῷ
ἁγίῳ μάρτυρι Θεοδώρῳ.

R

Β'

φ.140v Γυνή τις πενιχρὰ καὶ πτωχὴ ὄρνιν, ἐξ ὧν ἔτρεφεν, εἰς τὴν τοῦ μάρτυ-
ρον προσφορὰν καθιέρωσεν. Στρατιώτης δέ τις τὴν ὄρνιν λαβὼν τῇ ἁρ-
παγῇ, ἐπεβόα αὐτῷ εἶναι αὐτὴν τοῦ μάρτυρος. Ὁ δὲ μὴ φοβηθείς, ἔσφα-
15 ξεν αὐτὴν καὶ ἔφαγεν. Εἶτα τί καταλαμβάνει τὸν ἵππον, ὃν ἐκέκτητο καὶ
εἰς πόλεμον εἶχεν βοήθειαν; ὁ ψόφος. Ὁ δὲ γνοὺς τὴν βλάβην, ἣν ἐποί-
ησεν, ἐβόα κατὰ τοῦ ἁγίου βαστάζων τὴν σέλλαν ἐπὶ τῶν ὤμων αὐτοῦ.
18 «μίαν ἁρπάσας ὄρνιν, ἵππον ἀνταπαιτήθην παρὰ σοῦ πολεμικόν. Ἰδοὺ
διπλοῦν σοι καταβάλλω τὸ ἅρπαγμα». Ὅρα οὖν καὶ τὴν τοῦ ἁγίου οἰκο-
νομίαν. Ἐπιφανεὶς τῷ κηδεμόνι οὖν τῆς ἱερᾶς αὐλῆς φησί, στρατιώτην
21 τὸν ἐλθόντα μετὰ τοιοῦδε σχήματος, λαβὼν παρ' αὐτοῦ τὴν ὄρνιν, ἀντα-
φ.141r πόδος τὸν ἵππον, ὃν μοι προσέφερεν ὁ δεῖνα. Καὶ διυπνισθεὶς ἐποίη- /
σεν οὕτως. Καὶ ὁ ἵππος λαβὼν τὸν ζητοῦντα τὸν ἅγιον δεσπότην αὐτόν,
24 ἀπῆλθε χαίρων μετὰ τοῦ κυρίου αὐτοῦ.

Γ'

Ἕτερον θαῦμα τοῦ ἁγίου.

D

φ.284v Γυνή τις πτωχὴ γρα⟨ῦ⟩ς, ἔχων ὄρνιν μίαν, θέλων δὲ φέρειν ἐν τῷ ναῷ
27 τοῦ ἁγίου ὡς μικρὸν κανίσκιον καὶ στρατιώτης τις κλαπὼν τὴν ὄρνιν.

---

1 χρείας add. ἁρμοδιώτατον C / ἐπιγνωκότος οὖν (*ἀντὶ ἐπεγνωκότος*) V ἐπιγνοὺς δὲ ὅτι C *2* τοῦτο συμβαίνειν αὐτῷ V ἦν τοῦτο συμβῆναι αὐτῷ C / λαβὼν C / καὶ om. C *3* ἐξομολογ add. καὶ μετανοῶν C / ἱκετεύων μετὰ δακρύων V μετὰ δακρύων ἱκέτευεν C *4* τὸν ἅγιον καὶ om. C / λέγων add. ἅγιε τοῦ Θεοῦ C *4* ὄρνιν ἥρπασα, ἅγιε V ἥρπασα ὄρνιν C *6* αὐτὸν om. C *7* τῷ προσμοναρίῳ V προσμοναρίῳ αὐτοῦ C *8* μέλλειν εἰσέρχεσθαι C / τις V ἀνὴρ C *8* λαβὼν V καὶ λαβών C *9* Ὅπερ — ἵππον om. V πιθανώτατα ἕνεκα τοῦ ὁμοιοτελεύτου ἵππον — ἵππον (*στίχ. 9 καὶ 10*) *11* Θεοδώρου V αὐτοῦ C

Β'. 23 λαβὼν *δῆλον ὅτι ἐπὶ τῆς ῥάχεώς του*

Γ'.26 καὶ σ. 319,1 γρᾶς *χ/φον πβλ. κατωτέρω* σ. 319,3 *ἔνθα παραδίδει* γραῦς / φέρων *χ/φον*

Ἡ δὲ γρα⟨ῦ⟩ς ἐκείνη τρέχων ὄπισθεν τοῦ στρατιώτου κράζων καὶ λέγων· «ἄν-
θρωπε, στρέψον τὴν ὄρνιν, ὅτι τοῦ ἁγίου Θεοδώρου ἐστίν». Ὁ δὲ στρα-
τιώτης τοὺς λόγους τῆς γραῦς οὐδὲν λογισάμενος, θύσας δὲ τὴν ὄρνιν 3
καὶ φαγὼν αὐτήν, πάραυτα ἡ ὀργὴ τοῦ ἁγίου ἔπεσεν εἰς αὐτόν. Ἔχων
γὰρ ὁ στρατιώτης πάνυ θαυμαστὸν ἵππον, καλὸν καὶ εὔδρομον εἰς τὴν
στρατείαν αὐτοῦ, τὴν αὐτὴν ὥραν πεσὼν ὁ ἵππος ἔμεινε τεθνεώς. Ὁ δὲ 6
στρατιώτης ἰδὼν τὴν ἀδικίαν τῆς γυναικὸς μετενόησε. Καὶ ἀγοράσας ἑτέ-
ρας δύο ὄρνεις ἔφερεν ἐν τῷ ναῷ τοῦ ἁγίου καὶ παρακαλῶν τὸν ἅγιον
Θεόδωρον, ὅπως δώσῃ αὐτὸν ἕτερον ἵππον, ἵνα ἔχῃ αὐτὸν ἐν τῇ στρα- 9
τείᾳ. Ἦν δὲ ὁ στρατιώτης πάνυ πτωχὸς καὶ οὐκ ἔχων ἕτερον ἀγοράσαι.
Ὁ δὲ ἅγιος σπλαγχνισθείς, λέγει τῷ ἱερεῖ τῆς μονῆς· «πρεσβύτερε, ἔπαρον
τὸν ἵππον τὸν κάλλιον, ὃν χθὲς ἔφερον ἐν τῇ μονῇ καὶ δὸς τῷ στρατι- 12
ώτῃ τῷ ὧδε». Ὁ δὲ ἱερεὺς λαβὼν τὸν ἵππον / ἔδωκε τῷ στρατιώτῃ καὶ φ.285r
ἀπῄει χαίρων καὶ ἀγαλλόμενος δοξάζων τὸν Θεὸν καὶ τὸν αὐτοῦ μεγαλο-
μάρτυρα Θεόδωρον.

Δ'

Στουδίτης *στρ. ια' σ.* 364

(Πλήν γε λέξω ὀλίγα) πῶς ὁ ὄρνιν φαγὼν / ἀπώλεσεν ἵππον κάλλιστον, /
ὅμως δὲ μάρτυς Χριστοῦ ὑπάρχων, / πῶλον ἕτερον δίδως τῷ στρατιώτῃ,
ἵνα δειχθῇς / ἀμφοτέροις ἰσχύων, ὡς φίλος Χριστοῦ. 18

VCR

3 Θαῦμα τρίτον

Α'

VC *Περὶ τοῦ δίσκου τοῦ κλαπέντος τοῦ ἀργυροπράτου.* V

Ἦν τις ἀργυροπράτης ἔχων τινὰ μίσθιον. Ὑπῆρχεν δὲ αὐτοῖς ἀργυ- φ.117r
ρὸς δίσκος πολύτιμος. Τὶς οὖν συχνάζων αὐτοῖς καὶ ἐπιτηρήσας καιρὸν Ἐγκ.
καὶ λαθὼν ἔκλεψε τὸν δίσκον. Καὶ ἤρξατο ὁ ἀργυροπράτης ἐξ ὑπονοίας 64
τὸν ἑαυτοῦ μίσθιον κατηγορεῖν, ὅτι αὐτός ἐστιν ὁ τοῦτον / κλέψας. Ἀπαι- φ.118r
τούμενος οὖν ὁ τοιοῦτος μίσθιος, ὅπερ οὐκ εἶχεν, μετὰ πολλὴν ἔρευναν 24
καταφεύγει ἐπὶ τὸν μάρτυρα καὶ παραμένων ἐν τῷ τιμίῳ αὐτοῦ ναῷ
παρεκάλει αὐτὸν νυκτὸς καὶ ἡμέρας ἀποδυρόμενος τὴν συμφορὰν καὶ ἱκέ-

---

Θαῦμα τρίτον.—19 θαῦμα Γ' C Γ' V / Περὶ τοῦ ἀργυροπράτου C / τοῦ[3] C τὸ V *20* ἀργυρόδισκος C *21* καὶ om. C / καιρόν om. C *22* ἔκλεψε V ἔκρυψε C / τὸν add. τοιοῦτον C *23* τὸν ἑαυτοῦ — κατηγορεῖν V κατηγορεῖν τῷ μισθίῳ αὐτοῦ C / ὅτι V ὡς C / τοῦτον V τούτῳ C *25* τιμίῳ αὐτοῦ ναῷ V εὐκτηρίῳ αὐτοῦ C *26* αὐτὸν V αὐτῷ C / καὶ ἀποδύρετο C

τευεν αὐτὸν τοῦ φανεροποιῆσαι τὸν τοῦτον κλέψαντα. Ὁ δὲ μάρτυς τοῦ Χριστοῦ ἐπικαμφθεὶς ταῖς δεήσεσιν αὐτοῦ, καταμηνύει τὸν τὴν κλοπὴν ἐργασάμενον καί φησι πρὸς αὐτόν· «ὄρθρου ἀναστὰς πρόσελθε ἔξω τοῦ ναοῦ καὶ τὸν πρῶτον ὑπαντοῦντα σοι κράτησον ἀσφαλῶς καὶ παρ᾽ αὐτοῦ, ὅπερ ζητεῖς, εὑρήσεις. Ἀλλὰ λαβὼν τὸ κλαπὲν παρ᾽ αὐτοῦ, ἀπόλυσον αὐτὸν ἀνεύθυνον». Παρασκευάζει δὲ ὁ ἅγιος κἀκεῖνον τὸν κλέψαντα κατὰ τὴν αὐτὴν ὥραν ἐν ταῖς ἀγκάλαις αὐτοῦ τὸν τοιοῦτον δίσκον ἐπὶ διάπρασιν. Διὰ τὸ ἡμέρας παρελθεῖν λοιπὸν καὶ καταπαυθῆναι τὴν αὐτοῦ ζήτησιν, εὑρέθη ὁμοῦ συναντούμενος τῷ συκοφαντουμένῳ μισθίῳ. Καὶ δὴ ἐκείνου κρατήσαντος αὐτόν, ὁ κλέψας ἀπεκρίθη πρὸς αὐτὸν λέγων· «ἀδελφέ, ὃν ζητεῖς δίσκον τοῦτον ἐγὼ προσφέρω· λαβὼν οὖν αὐτὸν ἀρκέσθητι καὶ μηδέν με παραβλάψῃς». Ὅπερ καὶ ἐποίησε κατὰ τὴν παραγγελίαν τοῦ ἁγίου μάρτυρος Θεοδώρου.

R

Β′

(φ.141r) Ἄνθρωπός τις ἀργυροπράτης ἀπώλεσεν δίσκον καὶ πολλὰ περιπολεύσας εἰς τοὺς μάντας, τέλος ἐπὶ τὸν ἅγιον καταφεύγει. Καὶ τῇ παρακλήσει καμφθείς, εἶπεν ὁ ἅγιος τῇ νυκτὶ τῷ ἀνθρώπῳ· «ὄρθρου γάρ, φησι, ἀναστὰς ἐν τῷ ναῷ, τὸν πρῶτον περιτυχόντα σοι κράτησον ἀσφαλῶς, παρ᾽ αὐτῷ γὰρ εὑρήσεις, ὅπερ ζητεῖς. Ἀνεύθυνον οὖν ἄφες τὸν φωραθέντα». Καὶ ποιήσας οὕτως ὁ ἄνθρωπος, εὐθὺς ἐπελάβετο τοῦ ἀνδρός. Καὶ οὗτος ἔφη· «τὸν δίσκον ἐπιζητεῖς; ἰδοὺ προσφέρω σοι τοῦτον». Καὶ συγχωρήσας αὐτὸν κατὰ τὸ κελευσθὲν τοῦ ἁγίου, ὁ ἀπολέσας, ἀπῆλθον ἀμφότεροι εὐχαριστοῦντες τῷ ἁγίῳ.

---

1 αὐτὸν V τούτῳ C / τοῦ[1] om. C φανερὸν ποιῆσαι C / τὸν τοῦτον κλέψαντα om. C *1-2* τοῦ Χριστοῦ V τούτῳ C *2* ταῖς δεήσεσιν αὐτοῦ om. C *3* πρὸς αὐτὸν om. C / ὄρθρῳ C / ἔξελθε C *4* ὑπαντοῦντα C ὑπαντοῦν V *5* ἐπιζητεῖς C / ἀλλὰ V καὶ C / τὸ κλαπὲν παρ᾽ αὐτοῦ λαβὼν C *6-7* τὴν αὐτὴν ὥραν V τὸν αὐτὸν καιρὸν ἐπάραι C *7* ἐν ταῖς— δίσκον V τὸν τοιοῦτον δίσκον ἐν ταῖς ἀγκάλαις αὐτοῦ C / ἐπὶ V εἰς C *8* τὸ V τῆς C / παρελθεῖν λοιπὸν V αὐτὸν ἀπελθεῖν C / αὐτοῦ ζήτησιν V ἑαυτοῦ ἐκσεζήτησιν C *9* ὁμοῦ V οὖν C / συναντούμενος *ἀντὶ* συναντώμενος *10* κρατήσας C / κλέπτης C / ἀπεκρίνατο C / πρὸς αὐτὸν λέγων om. C / ἀδελφὲ V ἰδὲ C *10-11* ἐζήτεις C *11* τοῦτον ἐγὼ V ἰδοὺ C / προσφέρω V πρὸς σὲ φέρω C *ἐδέχθην τὴν γραφὴν τοῦ* V, *εἰ καὶ ἐν τῷ Ἐγκ. γράφω* πρὸς σέ φέρω *ἐπειδὴ καὶ δύο ἐκ τῶν χ/φων τοῦ Ἐγκ τὰ* QG *παραδίδουν* προσφέρω *πιθανὸν δὲ τὸ ἀντίβολον τοῦ* V *νὰ κατάγεται ἐξ ἀντιγράφων τῶν χ/φων τούτων· καὶ ἡ παραλλαγὴ* δὲ R *κατωτέρω παραδίδει* προσφέρω· *βεβαίως οὐδόλως ἀπίθανον νὰ παρελείφθη τὸ* σὲ *καὶ ὑπ᾽ αὐτοῦ τοῦ* V / λαβὼν οὖν αὐτὸν V καὶ τοῦτον λαβὼν C *12* παραβλάψεις C παραβλέψης V / πεποίηκεν C *13* ἁγίου— Θεοδ. V μάρτυρος V

Β′ 15 μάντας *ἀντὶ* μάντεις

Γ′

Στουδίτης στρ. ια′ σ. 365

Σὺν τούτοις ἐρῶ τὸν δίσκον, / ὃν κλέψας κυρίῳ ἀπέδοτο· / αὐτὸν γνωρίζεις, μάκαρ, στερρῶς, / καὶ δεικνύῃ προστάτης εὐήκοος, / πρεσβεύων μὴ παύσῃ ὑπὲρ πάντων ἡμῶν.

Δ′

Πεδιάσιμος σ. 23 - 24

Τὴν περὶ τοὺς ζημιουμένους ἀνάκτησιν.

Ε′

De Lagarde σ. 133,21

Καταμηνύει τοὺς ἔξωθεν φῶρας.

ΣΤ′

Μηναῖον

Καὶ ζημίαν φανέρωσιν ποιεῖς τοῖς συλληθεῖσιν ἀθλητά.

Ζ′

Κύριλλος Βίος ἁγ. Σάββα

Ἔστι τις ἐν τῇ ἁγίᾳ πόλει ἀργυροκόπος τῷ μὲν γένει Δαμασκηνός, τῷ δὲ ὀνόματι Ρώμυλος, διάκονος τῶν πρώτων τῆς ἁγίας Γεθσημανεί. Οὗτος ἐμοὶ ὁ Ρώμυλος διηγήσατο λέγων, ὅτι κατὰ τὸν καιρὸν τῆς κοιμήσεως τοῦ μακαρίτου Σάββα, ἐσυλώθη τὸ ἀργυροκοπεῖον μου καὶ ἀπώλοντο μέχρις που ἀργύρου λιτρῶν ἑκατόν. Ἐγὼ δέ φησιν εὐθέως ἐξῆλθον εἰς τὸ μαρτύριον τοῦ ἁγίου Θεοδώρου καὶ ἐποίησα ἐπὶ πέντε ἡμέρας τὰ φῶτα τοῦ ναοῦ καὶ ἔμεινα νυκτὸς καὶ ἡμέρας κλαίων ἐπὶ τῶν καγκέλων τοῦ θυσιαστηρίου. Περὶ δὲ τὸ μεσονύκτιον τῆς πέμπτης ἡμέρας εἰς ὕπνον ἡρπάγην καὶ θεωρῶ τὸν ἅγιον τοῦ Χριστοῦ μάρτυρα Θεόδωρον λέγοντά μοι· «τί ἔχεις; τί ἀδημονεῖς τοσοῦτον καὶ κλαίεις;» Ὡς δὲ εἶπον ὅτι τὰ ἴδια καὶ τὰ ἀλλότρια ἀπολέσας, τοσαύτας ἡμέρας συντρίβομαι καὶ οὐδὲν ὠφέλεσα, λέγει μοι ὁ ἅγιος· «Πέπεισο, οὐκ ἤμην ὧδε· ἐκελεύθημεν γὰρ συνδραμεῖν καὶ τῇ ἁγίᾳ τοῦ Ἀββᾶ Σάββα ψυχῇ ἀπαντῆσαι καὶ ὁδηγῆσαι ταύτην εἰς τὸν τῆς ἀναπαύσεως τόπον. Καὶ τὰ νῦν πορεύου εἰς τόνδε τὸν τόπον καὶ εὑρίσκῃς τοὺς κλέψαντας αὐτόθι καὶ τὸν ἄργυρον». Καὶ ἀναστὰς αὐτῇ τῇ ὥρᾳ καὶ λαβὼν ἄλλους τινάς, ἀπῆλθον εἰς τὸν ὑπὸ τοῦ ἁγίου μηνυθέντα τόπον καὶ ηὕραμεν οὕτως, καθὼς διὰ τῆς ὀπτασίας ἐμηνύθη.

RD

4. Θαῦμα τέταρτον

Α′

R

Δύο μάρτυρες καὶ ὁμότροποι καὶ συνήθεις τοῦ μάρτυρος μίαν ἔλαχον (φ.141r)

Ἐγκ. οἰκεῖν αὐλήν. Τινὲς οὖν τῶν ἐπιφανῶν κόσμον τινὰ γυναικεῖον παρεκατέθεντο. Εἶτα ζητουμένου, τὸ μὲν λαβεῖν ὡμολόγουν, τὸ δὲ τί γέγονεν, ἔφασκεν μὴ ἐπεγνωκέναι. Τοῦτο δὲ λαβὼν ὁ μετ' αὐτοῦ ὢν πονηρὸς παῖς ἀπέδωκεν τῷ ἰδίῳ πατρί, ὄντι μήκοθεν. Ἐγκαλούντων δὲ τῷ ἔχοντι τὴν ἀρχήν, ἐπικαλουμένων τὴν βοήθειαν τοῦ ἁγίου ἔρχονται ἐπὶ τῷ κελεύσματι. Ἔρχεται οὖν ὁ ἅγιος μετὰ τῶν ἁγίων ὁπλοφόρος ζητοῦντες τὸν τῆς πονηρᾶς πράξεως ὑπηρέτην. Καὶ εὑρόντες αὐτὸν ἐκτείνας τὴν χεῖρα ὁ ἅγιος ἠκόν[ι]ιζεν τὸ ξίφος κατ' αὐτοῦ. Οἱ δὲ δύο τοῦτον δυσωπήσαντες μὴ λίαν ἀγανακτεῖν κατεπράϋναν τῆς ὀργῆς. Ὁ δὲ κλοπεὺς μὴ ὁμολογήσας, πάλιν οἱ ἅγιοι πικροτέρως ἠπείλουν αὐτῷ. Ὡς οὐδὲ πάλιν ἔλεγεν, ἐκ τρίτου φανέντες, οἱ μὲν Β΄ πληγὰς αὐτῷ ἐπετέλουν, ὁ δὲ μάρτυς τοῦ Θεοῦ / Θεόδωρος εἰς τὴν πλευρὰν τοῦ κλέπτου ἔνυξεν. Καὶ δὴ ὀδυνωμένου τοῦ κλέπτου τὴν πλευρὰν αὐτοῦ, μεγάλως ἐβόα ὁμολογῶν τὸ χαωθὲν ἔχειν αὐτόν. Τοῦτο ὁ λαὸς ἀκούσας, εὐθὺς τὸν κρατούμενον χρηστὸν ἱερέα ἀπὸ τοῦ ἄρχοντος ἔλαβον, τὸν δὲ ζητοῦντα τὸ κόσμιον κατεμήνυον, ὅστις καὶ ἀπολαβὼν τὸ κλαπέν, οἱ ἀμφότεροι θεραπευθέντες, ὅ τε κλέπτης καὶ ὁ χαώσας, χαίροντες ἀπῆλθον.

Μεμαθήκατε ὅπως ὁ μάρτυς οἶδεν κατὰ καιρὸν καὶ στρατιωτικῇ χρήσασθαι δριμύτητι;

Β΄

D *Ἕτερον θαῦμα τοῦ ἁγίου.*

Ἀνήρ τις δεδωκώς τινος πρεσβυτ⟨έρ⟩ου τῆς γυναικὸς αὐτοῦ τὴν κόσμησιν εἰς παρακαταθήκην φυλάσσειν. Καιροῦ δὲ ὀλίγου περάσαντος, ἀπέθανεν ἡ γυνὴ ἐκείνη τοῦ ἀνδρός, ὁ ἔχων τὴν κόσμησιν. Ἔμεινε δὲ ὁ ἀνὴρ αὐτῆς εἰς τὴν προῖκαν αὐτῆς ἐπίτροπος. Ἐλθὼν δὲ ὁ ἄνθρωπος πρὸς τὸν πρεσβύτερον ἐκεῖνον ζητῶν τὴν κόσμησιν τῆς γυναικὸς αὐτοῦ. Ὁ δὲ ἱερεὺς ἐκεῖνος ἀνερευνήσας τῷ σκευοφυλακίῳ καὶ μὴ εὑρών τι, λέγει πρὸς αὐτόν·

1 - 2 παρεκατέθεντο *ἀντὶ* παρακατέθεντο 2 **ὡμολόγουν** *δηλονότι ὅ τε προεστηκὼς καὶ ὁ ὑπουργῶν αὐτῷ παῖς* 2 - 3 **ἔφασκεν** δηλονότι |ὁ προεστηκὼς 4 μήκοθεν *ἀντὶ* μηκόθεν =*ἀπὸ μακρυνὸ τόπο* 5 ἐπὶ τῷ κελεύσματι *τουτ' ἔστιν πράττουσιν ὡς ὁ ἅγιος ἐκέλευσεν* 7 - 8 ἠκόνιζεν corr. *πβλ. σ.* 323 *στίχ.* 23 ξίφος ἠκονισμένον *15 - 16* ὅστις καὶ ἀπολαβὼν τὸ κλαπὲν *ἀντὶ* ὅστις καὶ ἀπέλαβε τὸ κλαπέν

Β΄.— *21* δεδωκὼς *ἀντὶ* δέδωκε / τινὸς *ἀντὶ* τινὶ *ἕνεκα τῆς ἐν τῇ λαλουμένῃ μετὰ γενικῆς προσώπου συντάξεως τοῦ* δίδω (*πβλ.* τὸ *νέον* δίδω κάποιου) / πρεσβυτέρου corr. πρεσβύτου *παραδίδουν ἀμφότερα τὰ χ/φα* VC, *ἐνταῦθα ὅμως πρόκειται περὶ πρεσβυτέρου ὡς καὶ ἐν στίχ.* *24 - 25* πρὸς τὸν πρεσβύτερον *ἀναγινώσκωμεν, καὶ ἐν τοῖς κατωτέρω δὲ ὁσάκις γίνεται λόγος περὶ τοῦ ἀνδρὸς τούτου, ἀποκαλεῖται οὗτος ὑπ' ἀμφοτέρων τῶν χ/φων* ἱερεὺς *24* ἐλθὼν *ἀντὶ* ἦλθεν, *ὡς ἀνωτέρω* δεδωκὼς *ἀντὶ* δέδωκε *καὶ κατωτέρω* στίχ. *25* ζητῶν *ἀντὶ* ἐζήτει *καὶ σελ.* 323 στίχ. *10* καὶ *12* ἔχων *ἀντὶ* εἶχε

«ἀδελφέ μου, ὁμολογῶ ὅτι ἀληθῶς δέδωκάς μοι τὴν κόσμησιν τῆς γυναικός σου, ποῦ δὲ ἦν οὐ γινώσκω». Ἔμεινε δὲ ὁ ἄνθρωπος ζητῶν καὶ ἀπειλῶν, ἵνα προδώσῃ αὐτὸν ἐν τῷ ναῷ δημοσίᾳ. Ὁ δὲ ἱερεὺς ἔμεινεν ἐν μεγάλῃ ἀθυμίᾳ καὶ οὐκ ᾔδει τί ποιήσῃ.

Ἐν τῷ προαυλίῳ δὲ ἐν ᾧ ἦν ὁ ἱερεύς, ἔστι ναὸς δύο ἁγίων μαρτύρων, οὐκ ἠδήλωσε δὲ ἡ γραφὴ τίνες εἰσὶν αὐτοί. Ἔστι δὲ καὶ ὁ μέγας Θεόδωρος ἐν ἐκείνῳ τῷ ναῷ, εἰκὼν αὐτοῦ. Τί ποιεῖ ὁ ἀξιόπιστος ἱερεὺς ἐκεῖνος; ἔμεινε δὲ παρακαλῶν τοὺς δύο μάρτυρας ἐκείνους, ἐν ᾧ ἐλειτούργει ὁ ἱερεύς, ἅμα τῷ μεγάλῳ Θεοδώρῳ. Οἱ δὲ ἅγιοι μάρτυρες ἐκεῖνοι οἱ τρεῖς οὐκ ὤκνησαν πρὸς θεραπείαν καὶ φανέρωσιν τοῦ πράγματος. / Ἔχων δὲ ὁ ἱερεὺς διάκον ἐν τῇ αὐτοῦ ὑπηρεσίᾳ πονηρὸν καὶ κακότροπον καὶ ὁ διάκων ἔχων πατέρα καὶ αὐτὸν κακόβουλον. Ἔπεισε δὲ ὁ πατὴρ τὸν διάκον, τὸν ἑαυτοῦ υἱόν, ὅπως κλέψῃ ἐν τῷ σκευοφυλακίῳ τὴν κόσμησιν ἐκείνην τῆς γυναικὸς λαθόντος τοῦ ἱερέως. Τί γοῦν πράττουν οἱ ἅγιοι τρεῖς οὗτοι; Ἐφάνησαν δὲ αὐτοί, ὡς ἐν δικαστηρίῳ τινὶ ἔχων τὸν κακότροπον διάκον ἐκεῖνον ἐκεῖ, καθεζόμενοι καὶ οἱ δύο μάρτυρες, ὁ δὲ ἅγιος Θεόδωρος ἑστηκὼς ἦν, ἐξετάζων δὲ τὸν διάκον καὶ ἀπειλῶν αὐτὸν καὶ λέγων· ὁμολόγησον, εἰδεμή γε βασάνους δριμυτάτους ὑποδείξω σοι. Ὁ δὲ διάκων οὐκ ἤθελεν ὁμολογῆσαι. Ἔδωκαν αὐτῷ προθεσμίαν ἡμερῶν ὀκτώ. Ὡς οὖν ἦλθεν ἡ ὥρα τῆς προθεσμίας, πάλιν ἐφάνησαν οἱ ἅγιοι τρεῖς οὗτοι ἐν τῷ δικαστηρίῳ, οἱ δύο καθεστηκότες, ὁ δὲ στρατιώτης Θεόδωρος ἑστηκὼς ἦν. Ἦν δὲ ὁ Θεόδωρος ὡπλισμένος ὡς ἐν τάξει στρατιώτου λαμπροῦ, κρατῶν ἐν τῇ χειρὶ αὐτοῦ ξίφος ἠκονισμένον ἀστράπτον, λαμπρόν. Λέγουσι δὲ οἱ δύο μάρτυρες ἐκεῖνοι· «ὁμολόγησον, μὴ κακῶς ἀποθάνῃς». Ὁ δὲ διάκων οὐκ ἤθελεν ὁμολογῆσαι. Ἀγανακτῶν δὲ ὁ Θεόδωρος κατὰ τοῦ διάκου, θέλων κόψαι τὴν κεφαλὴν αὐτοῦ. Οἱ δὲ δύο μάρτυρες ἔμειναν παρακαλοῦντες τὸν ἅγιον Θεόδωρον, / λέγοντες· «μὴ ἀδελφέ μου Θεόδωρε, μὴ οὕτως ἀγανακτῇς, φανερῶσαι θέλει τὸ πρᾶγμα.

Ὡς οὖν εἶδον ὅτι οὐκ ὁμολογεῖ, πλήττει αὐτὸν ὁ Θεόδωρος ἐν τῇ πλευρᾷ αὐτοῦ μετὰ τοῦ ξίφους. Ἔξυπνος δὲ γεγονὼς ὁ διάκων ἤρξατο ἀνακράζων φωνὰς ὅσης δυνάμεως εἶχεν λέγων· «βοηθήσατέ μοι, φέρετέ

3 δημοσίᾳ corr. δημοσίῳ *χ/φον· τὸ σφάλμα ἐξηγητέον παλαιογραφικῶς, τὸ* ω *εὐκόλως δύναται νὰ συγχισθῇ πρὸς τὸ* α *10* ἔχων *τροπικὴ μετοχὴ πβλ. τὸ νεώτερον* ἔχοντας *10 - 12* (*τὸν*) διάκον καὶ *11 - 12* (*καὶ ἀλλαχοῦ*) ὁ διάκων *κατωτέρω δὲ στίχ. 25 συναντῶμεν τὴν γενικὴν* τοῦ διάκου *καὶ σελ.* 324 *στίχ. 8* τοῦ διακόνου, *ἤτοι ἐνταῦθα γίνεγαι χρῆσις τῶν κλίσεων* ὁ διάκος — τοῦ διάκου — τὸν διάκον ὁ διάκων, καὶ ὁ διάκονος — τοῦ διακόνου — τὸν διάκον *18* ὑποδειξω corr. ὑποδεῖξαι *χ/φον· τὸ σφάλμα καὶ ἐνταῦθα ἐξηγητέον παλαιογραφικῶς τὸ* ω *δηλονότι ἐσυγχίσθη πρὸς τὸ* αι *21* καθεστηκότες *ἀντὶ* καθήμενοι ἢ καθεζόμενοι ὡς ἀνωτέρω *στίχ.* 16 *ἀποκατέστησε δῆθεν τὸ καθεστηκός· πβλ. τὸ νεώτερον* καθιστικὴ ζωή *28* φανερῶσαι θέλει *σημειωτέα ἡ μέλλουσα διάθεσις τῆς περιφράσεως πλβ. καὶ τὸ σημερινὸν ἰδιωματικὸν νὰ* πάῃ θέλει = θὰ πάῃ *30* μετὰ τοῦ ξίφους *κατὰ ψευδῆ ἀποκατάστασιν τοῦ δημώδους* μὲ τὸ ξίφος

μοι ἐν τῷ ναῷ, ὅτι οὐ δύναμαι τὰς βασάνους». Ἔξυπνοι δὲ γεγονότες οἱ γείτονες ἦλθον πρὸς αὐτόν· λέγουσιν αὐτῷ· «τί ἔχεις; τί οὕτως ὀδυνᾶσαι; Ὁ δὲ ἐκεῖνος ἔμεινε κράζων καὶ λέγων· «ἄνθρωποι, διὰ τὸν Θεόν, βαστάσατέ μοι καὶ φέρετέ μοι ἐν τῷ ναῷ, ἵνα ὁμολογήσω πρᾶγμα παράδοξον τῶν ἁγίων, ὅπως κουφιστῶ τῆς ὀδύνης». Βαστάσαντες δὲ οἱ ἄνθρωποι τὸν διάκον, ἤεσαν ἐν τῷ ναῷ. Ὡς οὖν ἔρριψαν αὐτὸν εἰς τοὺς πόδας τῶν ἁγίων, ἤρξατο κράζων καὶ ὁμολογῶν πᾶσαν τὴν ἀλήθειαν, ὅτι «ἐγώ εἰμι ὁ ἄθλιος ὁ κλέψας ἐν τῷ σκευοφυλακίῳ τὴν κόσμησιν ἐκείνην». Συναθροισθέντος δὲ πλῆθος λαοῦ ἤκουσαν ἐκ τοῦ διακόνου τὴν ἐξέτασιν πᾶσαν τῶν δύο μαρτύρων καὶ τοῦ μεγάλου Θεοδώρου καὶ ἐδόξασαν τὸν Θεὸν καὶ τοὺς ἁγίους μάρτυρας.

Ὁ δὲ ἱερεὺς ἐκεῖνος οὐκ ἦν ἐν τῷ ἱερῷ· ἦν δὲ κρυπτόμενος περὶ τὴν (φ.286v) κόσμησιν τῆς γυναικός. Ὡς οὖν ἤκουσεν / ὅτι εὑρέθη, δραμὼν ἦλθε σπουδαίως ἐν τῷ ναῷ καὶ ἐδόξασε τὸν Θεὸν καὶ τὸν μέγα μάρτυν Θεόδωρον καὶ τοὺς αὐτοῦ δύο μάρτυρας. Ὁ δὲ διάκων ἔχων τὸν πόνον πολὺν καθωμολόγει πῶς καὶ τίνα τρόπον ἔκλεψεν αὐτὰ καὶ εἰς τόνδε τὸν τόπον κεῖται αὐτά. Σπλαγχνισθέντες δὲ οἱ ἅγιοι ἐκούφισαν αὐτοῦ τοὺς πόνους. Ὁ δὲ ἱερεὺς ἐκεῖνος λαβὼν τὴν κόσμησιν ἐκείνην τῆς γυναικὸς ἔδωκε τῷ ἀνθρώπῳ καὶ ἀπήει χαίρων καὶ ἀγαλλόμενος, δοξάζων τὸν Θεὸν καὶ τὸν αὐτοῦ μεγαλομάρτυρα Θεόδωρον.

Γ′.

Μηναῖον

Καὶ ζημίας φανέρωσιν ποιεῖς τοῖς συλληθεῖσιν ἀθλητά.

Δ′

De Lagarde σ. 133

Τοὺς ἐντὸς (δηλ. φῶρας) δήλους τίθησιν.

VCD

5. Θαῦμα πέμπτον

VC

Α′

V

Περὶ τοῦ κλέψαντος τὸ πολυκάνδηλον τῇ προνοίᾳ τοῦ ἁγίου.

(φ.118r, Ἐγκ. 68) Ἕτερός τις ἀνὴρ ἐν πολλῇ πτωχείᾳ περιπεσὼν καὶ δανείσμασιν ὑποκείμενος καὶ ἐκ τῶν ἑαυτοῦ δανειστῶν ἀπαραίτητον ὑπομένων ἀπαίτησιν

---

14 κουφιστῶ ἔχει καὶ αὐτὸ τοῦτο τὸ χ/φον **15** τροπο *χ/φον*

Θαῦμα πέμπτον. — *Τὸ θαῦμα τοῦτο ἕνεκα τῆς φθορᾶς τοῦ φύλλου 105bis μᾶς παρεδόθη εἰς τὸ μέσον ὑπὸ τοῦ C μόνον ἐν μέρει, ἑπομένως ἐνταῦθα θὰ ἀναγράφωνται αἱ παραλλαγαὶ μόνον τοῦ ἐπὶ τοῦ διασωθέντος τμήματος κειμένου.*

22 Δ′ V θαῦμα ε̄ C *23* περὶ—ἁγίου V περὶ τοῦ πτωχοῦ τοῦ παρακαλοῦντος τὸν ἅγιον ἐπᾶρ⟨αι⟩ πολ⟨υκάνδηλον⟩ C *24* ἀνὴρ om. C *25* ἑαυτοῦ V αὐτοῦ C *6* ὑπομένων C ὑπομένειν V

κατέφυγεν εἰς τὸν ναὸν τοῦ ἁγίου μάρτυρος Θεοδώρου καὶ παρακαλεῖ αὐτὸν λέγων· «μάρτυς τοῦ Χριστοῦ Θεόδωρε, ἄφες μοι, ἵνα ἐκ τῶν κρε / μαμένων (φ.118v) ἐν τῷ ναῷ σου πολυκανδήλων κλέψω καὶ λάθω καὶ τὴν αὐτοῦ τιμὴν εἰς ⟨ἐμ⟩πορίαν ποιήσασθαι, δι᾿ οὗ ὀφείλω καὶ τοῖς δανεισταῖς ἀποδοῦναι τὸ χρέος καὶ τὴν ἑαυτοῦ πενίαν παραμυθήσασθαι ὑπισχνούμενος καὶ τὸ κλαπὲν ἀποδοῦναι εἰς τὸ διπλάσιον». Καὶ τοῦτο εὐξάμενος τολμήσας ἀπεσύλησεν τὸ πολυκάνδηλον λαθὼν πάντας. Καὶ τῇ συνεργείᾳ καὶ ἀντιλήψει τοῦ μάρτυρος, ἐν ὀλίγῳ καιρῷ τὰ περὶ τὴν ἐμπορίαν αὐτοῦ εὐοδεῖται μεγάλως· καὶ ἀναστρέψας παραγίνεται εἰς τὸν ναὸν τοῦ ἁγίου μάρτυρος τὴν κλοπὴν πᾶσιν ἐξαγγέλλων καὶ τὴν πρὸς αὐτὸν γενομένην συμπαθίαν καὶ κατευόδωσιν τοῦ ἁγίου μάρτυρος, ἀπέδωκε δὲ εὐχαρίστως ἐν τῷ διπλῷ καὶ τὸ πολυκάνδηλον παρ᾿ αὐτοῦ τῷ ἁγίῳ.

Β′

D

Ἄνθρωπός τις πένης χρεωστεῖ τινὸς πολὺ πλῆθος χρέους. Μὴ ἔχων (φ.283r) δὲ πληρῶσαι τὸ χρέος, ἦλθε πρὸς τὸν ἅγιον Θεόδωρον καὶ στὰς ἔμπροσθεν τῆς εἰκόνος παρεκάλει τὸν ἅγιον περὶ τῆς πενίας αὐτοῦ. Ὡς οὖν ἐδέετο τοῦ ἁγίου, θεωρεῖ ἔμπροσθεν τῆς εἰκόνος, ὅτι ἐκρέ / μοντο σκεύη ἀρ(φ.283v)γυρᾶ καὶ χρυσία πολύτιμα καὶ λέγει ὁ πτωχὸς ἐκεῖνος τοῦ ἁγίου· «ἅγιε τοῦ Θεοῦ, αἰτῶ σε ἕνα ἐκ τῶν σκευῶν τῶν αὐτόθι, ὅπως πουλήσω καὶ ἀποδοῦναι τὸ χρέος· καὶ μετὰ τὸ δοῦναι τὸ χρέος μου, ἐπιστρέψω πάλιν ἕτερον ἀντ᾿ αὐτοῦ καὶ τὸ πλέον». Ὡς οὖν ἔκλαιεν ὁ πτωχὸς καὶ ἐδέετο μετὰ δακρύων, σπλαγχνισθεὶς ὁ ἅγιος καὶ νεύει ἐκ τῶν ὀφθαλμῶν αὐτοῦ τοῦ λαβεῖν αὐτὸ τὸ σκεῦος. Περιχαρὴς γενόμενος ὁ ἄνθρωπος, ἔλαβεν αὐτὸ καὶ πωλήσας αὐτὸ καὶ τὸ χρέος ἀποδιδοὺς καὶ τὰ περισσεύοντα αὐτῷ μεταχειρισάμενος εἰς πραγματείας τρόπῳ.

---

1 καταφεύγει C / ναὸν τοῦ ἁγίου μάρτυρος Θεοδώρου V ἅγιον μ⟨άρτυρα⟩ C *2* λέγων om. C / μάρτυς — μοι om. (*ὄχι ἕνεκα τῆς φθορᾶς*) C / ἵνα V ὥστε C *2-3* κρεμαμένων add. αὐτοῦ C *3* σου om. C / κλέψω καὶ λάθω V παραχωρῆσαι ⟨κλέ⟩ψαι καὶ λαθεῖν C *4* ἐμπορίαν corr. εἰς πορείαν VC *πρβ. 8 ἔνθα* C *γράφει* ἐμπορείαν / ἐμποιήσασθαι C *5* αὐτοῦ C / ὑποσχόμενος C *6* εἰς τὸ om. C *7* λαθὼν V καὶ λανθάνει C *7-8* καὶ ἀντιλήψει om. C *8* ἐμπορίαν C πορείαν V *8-9* εὐοδεῖται μεγάλως V εὐόδου μεγάλου καὶ οὐσίας C *9* ἀναστρέψας add. δὲ εὐθέως C / παραγίνεται — μάρτυρος V πρὸς τὸν ναὸν τοῦ ἁγίου παρεγένετο C *10* τὴν add. τε C / πᾶσαν C *11* εὐχαριστῶν C *12* καὶ τὸ — τῷ ἁγίῳ V τὸ κλαπὲν παρ᾿ αὐτοῦ πολυκάνδηλον C

Β′. — *13* χρεωστεῖ τινὸς *ἀντὶ* χρεωστεῖ τινὶ *ὡς καὶ ἀνωτέρω* σελ. 322 στίχ. 21 τινὸς δεδωκώς *8* πουλήσω *ἔχει καὶ τὸ χ/φον πβλ. ὅμως κατωτέρω στίχ.* 23 πωλήσας *20* καὶ τὸ πλέον *κατὰ λέξιν «μὲ τὸ παρὰ πάνω»* **24** τρόπῳ *ἀντὶ* τρόπον ⟨;⟩

Καὶ τοσοῦτον ἦν ἡ εὐλογία τοῦ ἁγίου, ὅτι ὑπερέβη[ν] τῆς τοῦ Ἐλισσαίου εὐλογίας. Καὶ πῶς ἦτον ἡ εὐλογία τοῦ Ἐλισσαίου ἄκουσον: Μαί
3 γυνὴ χήρα εἰσελθοῦσα εἰς τὸν ἅγιον καὶ λέγει αὐτῷ· «ὁ δοῦλός σου ἀνήρ μου ἐτελεύτησε καὶ ἐχρεώστει χρέος ἱκανόν, τώρα δὲ ἤλθασιν οἱ δανεισταὶ ἐκείνου καὶ λαμβάνουσι τοὺς δύο μου υἱοὺς εἰς δούλους ἀντὶ τοῦ χρέους
6 ἐκείνου». Λέγει δὲ ὁ Ἐλισσαῖος· «τί ποιήσω σοι; τί ἔχεις ἐν τῷ οἴκῳ σου;» Λέγει ἡ γυνή· «οὐκ ἔχω ἐν τῷ οἴκῳ μου, εἰ μὴ ἀγγεῖον ἐλαίου ἕν, φ.284r ἐν ᾧ ἀλείψομαι». / Λέγει δὲ αὐτῇ· «ἄπελθε εἰς τοὺς γείτονάς σου καὶ
9 αἴτησε ἀγγεῖα κενὰ καὶ ἔπαρε τοὺς δύο υἱούς σου καὶ εἴσελθε εἰς τὸν οἶκον σου καὶ ἀπόκλεισον τὴν θύραν σου καὶ λάβε τὸ ἀγγεῖον τοῦ ἐλαίου καὶ ἔκχεε εἰς τὰ ἀγγεῖα ταῦτα καὶ αὐτὸ οὐ κενωθήσεται, ἕως ὅτου πληρω-
12 θῶσιν ὅλα ἀγγεῖα». Καὶ ἐποίησεν ἡ γυνὴ ἐκείνη καθὼς εἶπεν ὁ ἅγιος. Καὶ ἀποκλείσασα τὴν θύραν αὐτῆς μετὰ τῶν δύο τέκνων αὐτῆς καὶ ἐκχέασα τὸ ἔλαιον εἰς τὰ ἀγγεῖα καὶ ἰδοὺ πλήρη ἅπαντα· καὶ τὸ ἔλαιον
15 ἐξέλιπε πάραυτα καὶ ἀπεκατεστάθη κενόν. Ἀπελθοῦσα δὲ ἡ γυνή, εἶπε τῷ Ἐλισσαίῳ ταῦτα. Καὶ εἶπεν αὐτῇ ἐκεῖνος· «πορεύου καὶ πώλησον τὸ ἔλαιος καὶ ἀπόδος τὸ χρέος». Καὶ ὅταν ἐπληρώθη τὸ χρέος, τότε ἐλατ-
18 τώθη τὸ ἔλαιον.

Ἡ δὲ τοῦ ἁγίου Θεοδώρου ἡ εὐλογία, οὐ γέγονεν οὕτως. Ἀλλὰ ὁ ἄνθρωπος ἐκεῖνος ὁποῦ ἐπῆρεν τὸ σκεῦος τοῦ ἁγίου Θεοδώρου καὶ ἐπώ-
21 λησεν, τοσοῦτον ἐπλούτισεν, ὅτι ὑπερέβη[ν] τῆς εὐλογίας τοῦ Ἐλισσαίου καὶ ἐγένετο ὑπέρπλουτος μέχρι τῆς τελευτῆς αὐτοῦ. Εἰσελθὼν δὲ ὁ ἄνθρωπος, ἔφερε τὸ σκεῦος τοῦ ἁγίου, ἕτερον μεῖζον, καὶ ἐξηγήσατο τοῖς φ.284v πᾶσιν τὸ θαῦμα τοῦ ἁγίου. Καὶ ἅπαντες ἀκούσαντες ἐδόξασαν / τὸν Θεὸν καὶ τὸν αὐτοῦ μεγαλομάρτυρα[ν] Θεόδωρον.

Γ′

Πεδιάσιμος σ. 23,22-23
Τὸ περὶ τοὺς πένητας αὐτοῖς συμπαθὲς καὶ πλούτου ποριστικόν.

Δ′

Μηναῖον
Πενομένους πλουτίζεις.

---

2 κέξ. πβλ. Ἐγκ *68*,5 appar. critic. πβλ. 3 Βασιλ. 17,16)

VCRYL

6 Θαῦμα ἕκτον

Α′

VC *Περὶ τῆς προσενεχθείσης μαχαίρας.* V

Μάχαιράν τις περικαλλῆ καὶ χρυσομένην τῷ ἁγίῳ προσήνεγκε καὶ φ.118v ταύτην ἔνδον τῶν καγκέλλων τῶν λειψάνων ἀπέθετο. Παῖς δέ τις ταύτην Ἐγκ. θεωρήσας προσῆλθεν κακοτρόπῳ βουλῇ λαβεῖν ταύτην βουλόμενος. Καὶ 69 ἐκτείνας τὴν χεῖρα ἐπελάβετο ταύτης. Ὡς δὲ ἦλθεν ἐκβαλεῖν καὶ συστεῖλαι 6 τὴν χεῖρα, συνεκλείοντο τὰ κάγκελλα εἰς τὰς χεῖρας αὐτοῦ καὶ ἀπέσφιγγον αὐτὸν καὶ ἀπεκράτουν. Ἡνίκα δὲ ἀπέλυεν τὴν μάχαιραν καὶ τὰ κάγκελλα ἠνοίγοντο. Παρεκάλει οὖν περὶ τούτου τὸν ἅγιον, ὥστε λαβεῖν αὐτὴν 9 ταῦτα λέγων· «ἅγιε τοῦ Θεοῦ, σὺ οὐ χρῄζεις αὐτήν· οὐδὲ γὰρ ὄρνεις ἐσθίεις, οὐδ' ἄλλο τι». Καὶ ἡνίκα πάλιν ἤθελεν ἐπᾶραι αὐτήν, ὁμοίως ἐ/κρατεῖτο ἡ χεὶρ αὐτοῦ, ἕως οὗ ἀπέλυεν αὐτήν. Καὶ τότε μὲν οὐ παρε- φ.119r χωρήθη. Μετὰ δὲ ταῦτα ἐπιφαίνεται ὁ ἅγιος τῷ προσμοναρίῳ τοῦ ἁγίου καὶ τὸν παῖδα κατεμήνυσεν αὐτῷ, λέγων πρὸς αὐτόν· «προσκαλεσάμενος τὸν παῖδα, τὸν πόθον, ὃν ἔχει, πλήρωσον καὶ δὸς αὐτῷ τὴν μάχαιραν». Ὅπερ 15 καὶ ἐποίησεν, τὴν τοῦ μάρτυρος κέλευσιν ἐκπληρώσας.

Β′

R

Μάχαιράν τις περικαλλῆ καὶ κεχρυσωμένην προσέφερεν τῷ ἁγίῳ. Παῖς φ.141v δὲ παρατυχὼν καὶ θεωρήσας κειμένην αὐτὴν ἐντὸς τῶν θυσιαστηρίων

---

1 θαῦμα Ε′ C Ε′ V *2* περὶ τῆς—μαχαίρας C περὶ τῆς μαχαίρας τῆς κεχρυσωμένης τῆς προσελθούσης τοῦ ἁγίου V *3* περικαλλὴν C / καὶ χρυσωμένην ἐν χρυσίῳ C / τῷ ἁγίῳ προσήνεγκε transp. C *4* ἔνδον τῶν καγκέλλων V ἐλθὼν τῶν καγκέλλων ἔσω C / τῶν λειψάνων V ἐν τῷ λειψάνῳ C / ἀπέθετο C ἀντέθετο V *5* προσῆλθεν C προσηλωθὲν V / κακοτρόπῳ βουλῇ V κακῷ τρόπῳ C *5* βουλόμενος om. C *5-6* καὶ—ταύτης om. C *6* ὡς δὲ V καὶ ὡς C / ἐκβαλεῖν C ἐκβάλαι V / συστεῖλαι om. C *ἐνταῦθα φαίνεται ὅτι τὸ* συστεῖλαι *δὲν περιείχετο εἰς τὸ ἀντίβολον λ προσετέθη δὲ ὑπὸ τοῦ* V, *κατ' ἀναλογίαν δὲ τούτου μετέβαλε καὶ τὸ* ἐκβαλεῖν *εἰς* ἐκβάλαι / συνεκλείοντο V συνέσφιγγον C / εἰς τὰς χεῖρας αὐτοῦ V καὶ ἀπέσφιγγον τὰ κάγκελα C *8* ἀπέλυσεν C *9* ἀνοίγοντο C / περὶ τούτου τὸν ἅγιον transp. C / αὐτὴν ταῦτα V ταύτην /τοιαῦτα C *10* ἅγιε--αὐτὴν V ὅτι τάχα αὐτὸς οὐ χρήζει αὐτοῦ C / οὐδὲ [1] V οὔτε C *11* ἐσθίεις V θύεις C / οὐδ' ἄλλο τι om. C / πάλιν ἤθελεν ἐπᾶραι V ἦλθεν πάλιν τοῦ ἆραι C / ὁμοίως add. πάλιν C *12* οὗ om. C / ἀπέλυσεν C *13* μετὰ ταῦτα δὲ C / φαίνεται C / ὁ ἅγιος—ἁγίου V ὁ μάρτυς τῷ ἱερεῖ τοῦ ναοῦ C *9* λέγων πρὸς αὐτὸν V καὶ ἐκέλευσεν ὅτι C *14-15* προσκαλ.—παῖδα V τοῦτον προσκαλεσάμενος C *15* τὴν add. τοιαύτην C *16* ἐποίησεν V ἐγένετο C / τὴν—ἐκπληρώσας om. C

Β′.—ἐντὸς corr. ἑνὸς χ/φον

ἐρασθεὶς αὐτῆς ἀκάκῳ τρόπῳ προσῆλθεν λαβεῖν αὐτήν. Ὁ δὲ ἅγιος ὡς πατὴρ φιλόστοργος προσέπαιξε τῷ παιδί. Συγχωρήσαντος γὰρ ἀπελθεῖν τῷ παιδὶ τοῦ καγκέλλου μετὰ τοῦ ποθουμένου, εὐθὺς δεσμὸς ἐγένετο τῆς χειρὸς τοῦ παιδός. Γνοὺς δὲ ὁ παῖς τὴν αἰτίαν καὶ στραφείς, ἀπέθετο τὴν μάχαιραν ἐν ᾧ τόπῳ ἔκειτο καὶ παραυτα ἡ χεὶρ αὐτοῦ ἀπελύθη. Τοῦ παιδὸς οὖν πολλάκις τοῦτο παθόντος καὶ μὴ συγχωροῦντος τοῦ ἁγίου, τὸν παῖδα ἐπιτυχεῖν τοῦ ποθουμένου, ἤρξατο παρακαλεῖν τὸν ἅγιον ὁ παῖς χαρίσαι αὐτῷ λέγων οὕτως· «ἅγιε τοῦ θεοῦ, τί θέλεις τὴν μάχαιραν; μὴ ὄρνιν σφάξαι; μὴ πρόβατον; Καὶ πολλὰ εἰπών, κλαίων ἀπῆλθεν λυπούμενος. Εἶτα ὁ ἅγιος ἐπιφανεὶς τῷ ἱερεῖ εἶπεν· «τὸν πρὸ μικροῦ παῖδα ἐξελθόντα φ.142r τοῦ ναοῦ προσκαλεσάμενος, ὃν ἔχει πόθον ἐκπλήρωσον». Εἶπεν καὶ τὸ / ὄνομα καὶ τὸν τόπον καὶ ὅστις εἴη. Καὶ ὁ ἱερεὺς τοῦτον εὑρηκώς, τὴν κέλευσιν τοῦ ἁγίου πεπλήρωσεν.

BQOL

Γ΄

Ἕτερον θαῦμα τὸ «στρατιώτας παιδεύεις τῆς ἁρπαγῆς ἀπέχεσθαι».

B φ. 73v Στρατιώτης τις ἔχων μεγάλην πίστιν εἰς τὸν μεγαλομάρτυρα Θεόδωρον ἔμελλε πορευθῆναι εἰς πόλεμον καὶ προσκυνήσας αὐτὸν ἐπορεύθη. Καὶ ὑποστρέψας ἐκ τοῦ πολέμου μετὰ νίκης μεγάλης ἐπορεύθη πάλιν προσκυνῆσαι αὐτὸν καὶ ἐκβαλὼν τὸ σπαθίον αὐτοῦ ἐχαρίσατο αὐτὸ εἰς τὴν ἐκκλησίαν ἐν τῇ λάρνακι, ἔνθα τὸ τίμιον αὐτοῦ σῶμα ἐτέθη, πάνυ ἀκριβὸν μετὰ λίθων καὶ χρυσίου ἱκανοῦ καὶ ὑπέστρεψε μετ' εὐχαριστίας.

Ἕτερός τις στρατώτης ἐπορεύθη καὶ αὐτὸς προσκυνῆσαι τοῦ ἁγίου τὸ φ. 74r λείψανον διὰ τὸ περιβόητον εἶναι τὸν ἅγιον ἐν / πᾶσι καὶ βλέψας τὸ σπαθίον τὸ ὡραιότατον ἐκεῖνο τὸ κεκοσμημένον, ἐτρώθη διὰ τοῦ ἔρωτος τῆς ἀγάπης τοῦ ἐπᾶραι αὐτό, λέγων ἐν τῇ αὐτοῦ διανοίᾳ «τοῦτο χρεία τοῦ ἁγίου οὐδεμία ὑπάρχει, μᾶλλον ἐγὼ στρατιώτης ὢν πρέπει βαστάζων

14 post τὸ add. λέγον ἐν τῷ τροπαρίῳ τοῦ ἁγίου, τοὺς L 17 αὐτὸν Y τὸν ἅγιον L / ἐπορεύθη Y ἀπῆλθεν L 19 post αὐτοῦ add. κεκοσμημένον πάνυ μετὰ χρυσίου καὶ λίθων πολυτελῶν L / αὐτὸ om. O 20 λάρνακι add. τοῦ ἁγίου L / ἐτέθη O ἐτίθη BQ κεῖται L 20-21 πάνυ — ἱκανοῦ om. L (*πβλ. ἀμέσως ἀνωτέρω appar. critic. στίχ. 19*) 22 ἕτερος add. δὲ L / τοῦ ἁγίου τὸ λείψανον transp. Q 23 ἐν BOL ἐπὶ Q / βλέψας Y θεωρήσας L 24 τὸ ὡραιότ. — κεκοσμημ. BQO ἐκεῖνο τὸ ὡραιότατον, κεκοσμημένον L 24-25 διὰ τοῦ ἔρωτος Y τῷ ἔρωτι L 25 ἀγάπης add. αὐτοῦ καὶ ἠθέλησεν L / τοῦ om. L / ἐπᾶραι BOL λαβεῖν Q / αὐτοῦ om. L 26 βαστάζων *ἀντὶ* βαστάζειν βαστάζων O βαστάζω B antea βαστάζων, postea corr. βαστάζειν Q βαστάζειν L

αὐτὸ δι' εὐλογίαν καὶ βοήθειαν τῶν πολέμων». Ταῦτα λογιζόμενος ὁ στρατιώτης, λαβὼν τὸ σπαθίον ἐκ τοῦ μνήματος τοῦ ἁγίου, ζώννυται αὐτὸ καὶ προσκηνήσας ἀπῄει χαίρων. Ἐξερχόμενος δὲ τῆς ἐκκλησίας ἐτύφλωσεν αὐτὸν ὁ ἅγιος καὶ οὐκ εἶδε ποῦ πορεύεται ὁ στρατιώτης. Μετανοήσας οὖν ὑπέστρεψε πάλιν τὸ σπαθίον εἰς τὸ μνῆμα τοῦ ἁγίου καὶ εὐθέως ἀνέβλεψεν. Ἰδὼν δὲ πάλιν τὸ κάλλο; αὐτοῦ ἐδόκει ὅτι ἡ τύφλωσις ἐκείνη οὐκ ἐγεγόνει ὑπὸ τοῦ ἁγίου, πάλιν λαμβάνει τοῦτο καὶ ζώννυται. Καὶ ἐλθὼν / φ.74v πάλιν τοῦ ἐξελθεῖν τοῦ ναοῦ ἔμεινε τυφλός. Ἐλθὼν δὲ ὁ ἱερεὺς ὁ προσεδρεύων τῇ ἐκκλησίᾳ τοῦ ἁγίου καὶ ἰδὼν τὸν στρατιώτην τυφλόν, ἤρξατο ἐπερωτᾶν αὐτόν· «τί τὸ συμβάν σοι»; Ἤρξατο οὖν λέγειν κατὰ λεπτὸν τὴν αἰτίαν. Παρακαλέσας οὖν τὸν ἱερέα τοῦ ποιῆσαι παράκλησιν πρὸς τὸν ἅγιον τοῦ συμπαθῆσαι αὐτῷ, ἐπιδοὺς ὄπισθεν εἰς τὸν ἅγιον καὶ τὸ σπαθίον αὐτοῦ καὶ τὸ τοῦ ἁγίου καὶ ὑπέρπυρα ἑκατὸν μόνον ἵνα ἀναβλέψῃ καὶ λαβὼν ὁ ἱερεὺς ἔλαιον ἐκ τῆς κανδήλας τοῦ ἁγίου ἤλειψε τοὺς ὀφθαλμοὺς τοῦ στρατηλάτου καὶ ἀπῆλθε βλέπων, δοξάζων τὸν Θεὸν καὶ τὸν αὐτοῦ θεράποντα μεγαλομάρτυρα Θεόδωρον.

Δ΄

Στουδίτης στρ. ιβ΄ σ. 365

Τερπνὴν μάχαιραν εὗρε κειμένην / καὶ ποθήσαν παιδίον αὐτήν, ὡς εἶδεν, / εἶτα εὐθὺς / ἐξηράνθη τὴν χεῖρα, καὶ ἀμηχανῶν / ἐβόα πρός σε· ὦ μάρτυς, / παιδικῆς πάλαι ἦρα τὴν μάχαιραν! / ὡς δὲ πατὴρ φιλόπαις αὐτῷ / ἀπέδωκας διόλου τὸ ἴδιον, / πρεβεύων μὴ παύσῃ ὑπὲρ πάντων ἡμῶν.

Ε΄

Μηναῖον

Νηπίοις χαρίζῃ συμπαθῶς τὰ αἰτήματα.

2 τοῦ πολέμου L 1-2 ταῦτα — στρατιώτης om. L 2 λαβὼν add καὶ L / τοῦ μνήματος Y τῆς λάρνακος L 3 χαίρειν L 4 πορευθῆναι L 5 εἰς τὸ μνῆμα Y εἰς τὴν λάρνα⟨κα⟩ L / ἁγίου add. αὐτοῦ L 6 τὸ κάλλος αὐτοῦ Y καλλωπισμένον L / ἐκείνη om. L 7 ὑπὸ Y ἐκ L / πάλιν — τοῦτο Y καὶ πάλιν λαβὼν τοῦτο L / ἐλθὼν πάλιν transp. L 8 τοῦ[1] om L / ante τοῦ[2] add. ἐκ Q 9 τῇ ἐκκλησίᾳ ἐν τῷ ναῷ L 10 αὐτὸν Y αὐτῷ L / τί τὸ συμβὰν (συμβὰ BO) σοι Y τὸ συμβὰν L 10 ante ἤρξατο add. ὁ δὲ στρατιώτης Q / ἤρξατο — λεπτὸν Y καὶ διηγήσατο καταλεπτῶς L 12 τοῦ συμπαθῆσαι Y ὅπως συμπαθήσῃ L / ὄπισθεν — ἁγίου Y αὐτῷ καὶ τὸ σπαθίον τοῦ ἁγίου L ***ὄπισθεν*** *κατὰ ψευδῆ ἀποκατάστασιν τοῦ πίσω* 13 τὸ om. O / ante et post μόνον add. ἵνα B 14 ὁ ἱερεὺς om. BQ 14-15 στρατιώτου L 15 καὶ ἀπῆλθε βλέπων Y καὶ εὐθὺς ἔβλεψε καὶ ἀπῆλθε χαίρων L

ΣΤ΄

Πεδιάσιμος σ. 23, 25-26
Τὰς πρὸς στρατιώτας ἐφ' ᾧ μὴ ἁρπάζειν παιδείας.

Ζ΄

De Lagarde σ. 133, 17
Στρατιώτης ἁρπάζει· τὸ γὰρ γένος τοιοῦτον καὶ τὸ ἀνόμημα. Ὑπὸ τούτου δεόντος νουθετεῖται καὶ σωφρονίζεται.

Η΄

Μηναῖον (*κατὰ τὴν παραλλαγὴν τοῦ Ψευδονεκταρίου*)
Καὶ στρατιώτας παιδεύεις τῆς ἁρπαγῆς ἀπέχεσθαι.

Θ΄

Κῶδ. Ἄνδρου 40
Καὶ στρατιώτας ἐπαίδευσε νὰ προσέχουν τὰ ἀπὸ τὴν ἁρπαγήν.

VCR

7 Θαῦμα ἕβδομον

VC

Α΄

V
φ. 119r
Ἐγκ. 70

Περὶ τοῦ χρυσίου τὸ δοθὲν εἰς φύλαξιν καὶ ἀρνησαμένου αὐτό.

Τῆς ἐτησίου μνήμης τοῦ μάρτυρος ἐπιτελουμένης, χρυσίον τις τινὶ τῶν ἐν τῇ πανηγύρει καταπιστεύσας παρέθετο. Ἐκείνου δὲ μεταβληθέντος εἰς 9 ἄρνησιν, ὁ τοῦτο τὸ χρυσίον παραθέμενος μετὰ δακρύων πρὸς τὸν μάρτυρα κατέφυγεν. Φαίνεται οὖν ταῦτα κατ' ὄναρ ὁ ἅγιος λέγων· «παῦσαι τῶν ὀδυρμῶν καὶ ἐγώ σοι τὸ ἐπιζητούμενον παρέχω». Εὐθέως οὖν ὁ ἀρνη- 12 σάμενος ἦλθεν ἐλαυνόμενος τρέχων καὶ μέσον τοῦ ἐκεῖσε ὄντος ναοῦ, ὥσπερ ἀπό τινων ὑψούμενος ἐν τῷ ἀέρι ἀπεκρεμάσθη, ὡς ἔκ τινων μαστίγων ἀναγκαζόμενος καὶ ὁμολογῶν τὴν ἀλήθειαν καὶ λέγων εἶναι ἀκέραιον τὴν

ϛ΄ V θαῦμα ϛ΄ C *6* περὶ τοῦ χρυσίου τὸ δοθὲν εἰς φύλαξιν καὶ ἀρνησαμένου αὐτὸ V περὶ τοῦ δαιμονισθέντος κατὰ..ται-του C *7* τῆς-ἐπιτελουμένης V τελουμένης οὖν τῆς ἐτησίου μνήμης τοῦ μάρτυρος C / τῶν om. V *9* ὁ—παραθέμενος V ὁ ἀποστερηθεὶς...... (vacat) C / μετὰ δακρύων om. C *10* τοῦτα —λέγων V αὐτῷ ὁ ἅγιος......λέγων C *11* ζητούμενον C / παρέξω C *11-12* ἐξαρνησάμενος C *12* ἦλθεν om. C / μέσον V ἐν μέσω C / ὄντος ναοῦ V ἀναριθμήτου λαοῦ C *12-13* ὥσπερ — ἀέρει V ἀπ' αὐτοῦ τοῦ ἀέρος εἰς ὕψος C *13* τινων C τινος V *14* ἐξομολογῶν C / εἶναι—παραθήκην V τὴν παραθ. εἶναι ἀκέραιον C

παραθήκην, ἣν ἔθηκάς μοι' καὶ πάντας παρεκάλει, ὥστε τῶν βασάνων ἄνεσιν αὐτῷ αἰτήσασθαι. Ἀπολαβόντος οὖν τοῦ ἀποστερηθέντος τὸ χρυ- 3 σίον, εὐθέως καὶ τῷ βασανιζομένῳ ἡ παῦσις τῶν ἀλγηδόνων ἐγένετο. Ὁ δὲ λαβὼν τὸ χρυσίον ἐπορεύθη ἐν τῷ αὐτοῦ οἴκῳ αἰνῶν καὶ εὐλογῶν τὸν Θεόν, τὸν μεγαλύναντα τὸν ἑαυτοῦ θεράποντα.

Β΄

R
φ. 142r

Τελουμένης οὖν αὐτῷ τῆς ἐτησίου μνήμης, χρυσίον τις τῶν ἐν τῇ πανηγύρει τινὶ καταπιστεύσας παρέθετο. Τραπέντος δὲ τοῦ λαβόντος εἰς ἄρνησιν, μετὰ δακρύων εἰς τὸν τοῦ αὐτοῦ ναὸν προσέδραμεν, παρακαλῶν ὁ ἀποστερηθείς. Καὶ ὁ ἅγιος ἐπικαλυφθεὶς τῷ ἀνθρώπῳ ἔφη· «παῦσαι 9 οὖν τῶν ὀδυρμῶν, κἀγὼ τῶν ἐπιζητουμένων σοι τὴν θεραπείαν ποιήσω. Μετὰ ταῦτα οὔπω τρεῖς ἡμέραι παρῆλθον καὶ ὁ ἐξαρνησάμενος ἦλθεν τρέχων αὐτομάτως εἰς τὸν ναόν, καὶ μέσον τοῦ λαοῦ εἰς τὸν ἀέρα ἐξήρτητο 12 καὶ πάντας ἱκέτευε συνεξαιτῆσαι τῶν βασάνων τὴν ἔκδοσιν, ὁμολογῶν μεγάλῃ τῇ φωνῇ, ἀκέραιον μένειν τὴν παρακαταθήκην. Καὶ δὴ οἱ ἀμφότεροι τῆς θεραπείας τυχόντες, ἀπῆλθον πολλὰ εὐχαριστοῦντες τῷ ἁγίῳ. 15

Γ΄

De Lagarde 133,21
Ἁρπάζων ἁρπάγματα.

R

8. Θαῦμα ὄγδοον

Α΄

R
φ.142r
Ἐγκ. 71

Ἐν μιᾷ οὖν τῶν ἡμερῶν πονηρῶν ἀνδρῶν συστήματα τῶν ἱερῶν ὑφελέσθαι σκευῶν διενοήθησαν τὰ κάλλιστα. Καὶ πρῶτον μὲν κλεῖς ἐπὶ ταῖς θύραις ἐμηχανήσαντο καὶ πᾶσαν κακοτεχνίαν διενοήσαντο. Ὡς δὲ ἐνεδρεύ- 18 σαντες ἀφ' ἑσπέρας λαβόντες ὅσα ἠδυνήθησαν, τὰς θύρας διανοίγειν ἐνόμιζον καὶ ἐλθόντες ὁδοιπορεῖν οὐκ ἐπαύσαντο περιτρέχοντες, ἕως δὴ ἀναστάντες οἱ γυροφύλακες τῆς αὐλῆς τῷ προνοοῦντι τῶν κατ' αὐτὴν τοὺς ἀνοσί- 21 ους προσήγγειλαν. Τί οὖν ἐκεῖνος ; Τὸ μὲν πραχθὲν ἅπαν μετὰ ἀκριβείας ἐξήτασεν· μαθὼν δὲ ὅση συνεῖχεν τοὺς ἄνδρας ἀορασία, εὐχαριστήσας τῷ

1 ἣν ἔθηκάς μοι om. C / καὶ om. C *2* ἄνεσιν αὐτῷ V δι' αὐτῶν ἄνεσιν C *2-3* χρυσίον V χρέος C / εὐθὺς C *3-4* ὁ δὲ — θεράποντα om. C
Β΄.—9 ἐπικαλυφθεὶς *ἴσως κατὰ τὸ* ἐπιφανεὶς *ἀντὶ* ἀποκαλυφθεὶς
Θαῦμα ὄγδοον. — 21 γυροφύλ ακες *πβλ. Ἐγκ.* σ. 71,15 appar. critic. *χ/φον* *Η 21* κατ' αὐτῇ χ/φον

μάρτυρι, τούτους ἀνεγκλήτους ἀπέλυσεν δοὺς αὐτοῖς καὶ τὰ πρὸς τροφὴν κατὰ τὴν κέλευσιν τοῦ ἁγίου.[1])

De Lagarde 133,21

Ἐπανάγων κλέμματα.

ΣΤ'

Κῶδ. Ἄνδρου 40

Καὶ σύντροφοι δέ τινες ἔκλεψαν ἀπὸ τῆς μέσης ἄσπρα καὶ ὅμως ὁ ἅγιος ἐφανέρωσέν τους.

VCR

9. Θαῦμα ἔνατον

VC

Α'

V

Περὶ τοῦ στρατιώτου τοῦ ἐλθόντος εἰς προσκύνησιν τοῦ Ἁγίου.

φ.119r

φ.119v, Ἐγκ. 72

Στρατιώτης τις ἦλθεν ἐφ' ἵππου τοῦ εὔξασθαι ἐν τῷ ναῷ τοῦ μάρτυρος καὶ μὴ ἔχων τινὰ μεθ' ἑαυτοῦ προσέδησεν ἔξω τῆς αὐλῆς τὸν ἑαυτοῦ ἵππον, εἰρηκὼς πρὸς τὸν ἅγιον τοῦ αὐτὸν παραφυλάξαι. Καὶ δὴ εἰσελθόντος αὐτοῦ τὴν εὐχὴν ἐκτελέσαι, παρεγένετό τις ἕτερος καὶ θεωρήσας 12 τὸν ἵππον δεδεμένον, παρεκάλεσε τὸν ἅγιον παραχωρῆσαι τοῦ ἐπᾶραι τὸν ἵππον αὐτοῦ, ὅπερ καὶ ἐποίησεν. Τοῦ δὲ κυρίου τοῦ ἵππου μετὰ τὸ πληρῶσαι τὴν εὐχὴν ἐξελθόντος καὶ μὴ εὑρηκότος τὸν ἑαυτοῦ ἵππον ἤρ- 15 ξατο θλίβεσθαι καὶ ἀποδύρεσθαι καὶ ἐγκαλεῖν περὶ τούτου τῷ μάρτυρι, προβαλλόμενος καὶ τὴν ἑαυτοῦ πενίαν. Ἐπιφαίνεται οὖν ὁ ἅγιος τῷ φροντιστῇ τοῦ ναοῦ αὐτοῦ καὶ κελεύει δοθῆναι αὐτῷ τὸν προσενεχθέντα 18 αὐτῷ ἵππον, παραγγείλας αὐτῷ, ἵνα τὸν ἵππον, ὃν ἀπώλεσε, μηκέτι αὐτὸν

6 θαῦμα ζ' C om. V / περὶ τοῦ στρατιώτου τοῦ ἀπολέσαντος τὸν ἑαυτοῦ ἵππον C *8* ἐφ' ἵππω C / εἰς τὸν ναὸν C?/ τοῦ add. ἁγίου C *9* τινὰ C τινὰς V *9-10* ἔξω—ἵππον V τὸν ἵππον ἑαυτοῦ ἔξω τῆς αὐλῆς C *10* αὐτὸν παραφυλάξαι V διαφυλάξαι αὐτόν C *11* αὐτοῦ add. ἐν τῷ ναῷ C / ἐκτελέσαι V ἐκπληρῶσαι V / παραγίνεται δὲ C *12* ἅγιον add. τοῦ Χῦ μάρτυραν C / παραχωρῆσαι add. αὐτὸν τοῦ λαβεῖν κρυφίως C / τοῦ V καὶ C *13* αὐτοῦ om. C / πεποίηκεν C *13-14* μετὰ τὸ πληρῶσαι V πληρώσαντος C *14* εὐχὴν add. καὶ C μὴ εὑρηκότος τὸν ἑαυτοῦ ἵππον V τὸν ἵππον μὴ εὑρηκότος C *15* τὸν μάρτυρα C *17* φροντιστῇ V προσμοναρίω C / δοθῆναι C *18* ἵνα τὸν V μηκέτι τὸν C / ἀπώλεσε add. ἔτι ζητεῖν, ἀλλ' εἰ καὶ εὕρῃ αὐτὸν C

1) Περὶ τῆς ὁμοιότητος τοῦ θαύματος τούτου πρὸς τὸ τελευταῖον τῶν ὑπὸ Κυρίλλου τοῦ Σκυθοπολίτου διηγουμένων θαυμάτων τοῦ ἁγ. Εὐθυμίου πβλ. τὰ ἐν τῇ ἐκδόσει τοῦ Ἐγκ. σ 96 καὶ σ. 2 σημ. 2 λεχθέντα.

ἀπολαμβάνειν, διότι αὐτὸς καὶ τῷ ἐπάραντι κεχάριστο· ὅπερ καὶ ἐγένετο τῇ συνεργείᾳ τοῦ ἁγίου μάρτυρος Θεοδώρου.

Β'

R

Ἀνδρὸς ἐφίππου πρὸς τὸν ναὸν ἐλθόντος ἄνευ ὑπηρέτου, ἕνα τῶν φ.142v κιονίων δήσας τὸν ἵππον, θαρρήσας τῇ φυλακῇ τοῦ ἁγίου, εἰς τὸν ναὸν εἰσῆλθεν ἀποδοὺς τὰς εὐχάς. Ὑποστρέψαντος δὲ καὶ τὸν ἵππον μὴ εὑρών, κατεβόα τοῦ μάρτυρος. Ἐκποδὼν δὲ ἦν ὁ ἵππος ἑτέρου στρατιώτου, 6 κἀκείνῳ δὲ οὕτως μὴ εὐποροῦντος ὠνήσασθαι. Ὁ οὖν ἅγιος τῷ προστατοῦντι τῆς αὐλῆς τῇ νυκτὶ ἐφιστὰς ἔφη ἐκ τῶν εἰσφερομένων μοι ἵππων δὸς τῷ χαώσαντι τὸν ἵππον, εἰπὼν αὐτῷ, ὅτι ὁ ἀπολέσας τὸν ξένον ἵπ- 9 πον τῇ αἰτήσει αὐτοῦ ἐσυνεχώρησα λαβεῖν αὐτὸν ἀπὸ τοῦ κιόνός μου διὰ πενίαν. Σὺ οὖν, παρενοχλῶν μοι, λάβε τὸ⟨ν⟩ ἐμὸν καὶ ὕπαγε καὶ τοιοῦτον μὴ ποίει ἀπὸ τοῦ νῦν. Καὶ λαβὼν ὁ παρακαθήμενος τῷ ναῷ, ἀπῆλθον 12 οἱ ἀμφότεροι εὐχαριστοῦντες τῷ ἁγίῳ.

VCR

10. Θαῦμα δέκατον

VC

Α'

Περὶ τοῦ ἀνθρώπου τοῦ προσφέροντος βοῦν εἰς θυσίαν.

V

Ἄνθρωπός τις βοῦν εἰς θυσίαν τῷ μάρτυρι κομίζων, αὐλισθεὶς ἔν τινι φ.120r χωρίῳ κατὰ τὴν ὁδόν, χόρτον ὠνήσασθαι πρὸς τροφὴν ἐδεήθη τοῦ θύματος. Ἄνευ δὲ πράσεως παρασχὼν τὸ αἰτηθέν τις ηὔξατο τῆς θυσίας καὶ Ἐγκ. 72 αὐτῷ τι μέρος ἐλθόντι εἰς τὸν ναὸν μνημονεῦσαι. Ἐλθόντι δὲ τούτῳ εἰς 18 τὸν ναὸν ἤρξατο διανέμειν τὸ δῶρον. Ὁ δὲ ἅγιος καταμηνύει αὐτὸν τῷ προσμοναρίῳ, μὴ παρὰ μόνου δέξασθαι τὴν θυσίαν τοῦ προσφέροντος, ἔχειν γὰρ αὐτὸν καὶ κοινωνόν. Τούτων οὖν αὐτῷ ἀναγγελθέντων / ἐδυσχέ- φ.120v ραινεν καὶ ἐσχετλίαζεν καὶ οὐκ εἶχεν τι διανοηθῆναι πρὸς τὸ λεγόμενον

1 ἀπολαμβάνει C / κεχάριστο V αὐτῷ κέχρηται C / ὅπερ C ὃ δεῖ C *2* τῇ συνεργεία—Θεοδώρου om. C

Θαῦμα δέκατον. — *1* Θ' V om. C *14* περὶ ἐνέγγοντος τὸν βοῦν.....ἁγίω C *4* αὐλίσθη C *16* ante κατὰ add. τῷ C / ἐδεήθη V ἐπορ⟨ίσθη⟩ C *17* παρασχὼν τῷ αἰτηθέντι V παρασχόντι τῷ αἰτηθέντι μέρος C *18* τι μέρος μνημονεῦσαι V προσγρ⟨αφῆναι⟩..μέρος C *18-19* ἐλθόντι—δῶρον V ἦλθε τοίνυν καὶ εἰς τὸν (vac.) δῶρον ἄγων C *20* προσμοναρίω C προσμονη V / μὴ παρὰ μόνου om. / C φέροντος C *21* ἔχειν C εἶχε V· *ἀκολουθῶ ἐνταῦθα το C, ἐπειδὴ ἀμφότερα τὰ χ/φα παραδίδουν τὴν αἰτ. αὐτὸν* / τούτων οὖν αὐτῷ ἀναγγελθέντων C τοῦτον· ἐξαγγέλεσθαι τὸν παρ' αὐτοῦ πρόσμον. Ὁ δὲ τὴν θυσίαν προσφέρων V *ἀκολουθῶ τὸ C, ἐπειδὴ τὸ κείμενον τοῦ V ἐνταῦθα εἶναι ἀδιανόητον* *22* καὶ om. C / τῶν λεγομένων παραδόξων C

παράδοξον. Ὡς οὖν πάντα ἐν ἑαυτῷ διερεύνα ἀναμιμνήσκεται τοῦ δεδω-
κότος αὐτῷ τοῦ μικροῦ χόρτου τὴν δωρεὰν καὶ οὕτως αὐτὸν προσεκαλέ-
3 σατο, καὶ ἀμφότεροι πρὸς τὸν ναὸν τοῦ μάρτυρος τὴν θυσίαν προσέφε-
ρον, αἰνοῦντες τὸν Θεὸν τὸν δοξάσαντα τὸν ἑαυτοῦ μάρτυρα Θεόδωρον.

R Β΄

φ.142v Ἄλλου τινὸς βοῦν ἀγομένου πρὸς τὸν ἅγιον καὶ μὴ τὴν τιμὴν τοῦ χόρ-
6 του δοὺς τῷ καθ' ὁδὸν δόντι τροφὴν διὰ τὸν ἅγιον τὸν βοῦν, προέλαβεν
ἡ ὀπτασία τῷ ἱερεῖ παρὰ τοῦ ἁγίου λέγων ὅτι «ὁ βοῦς ὁ πρός με ἀγό-
μενος μὴ μόνου τοῦ ἀγομένου δέξῃ, ἀλλὰ καὶ ἑτέρου». Καὶ βεβαιωθεὶς ὁ
9 ἱερεὺς παρὰ τοῦ ἀνθρώπου, τὴν ἱκεσίαν καὶ ὑπὲρ τοῦ δώσ⟨αν⟩τος τὸν
χόρτον προσήφερεν.

VCYL

11 Θαῦμα ἑνδέκατον

Α΄

VC

Περὶ τῆς δωρεᾶς τῆς δοθείσης χάριτος καὶ ἐνεργείας τῷ μάρτυρι.

V

φ.120v Ἀκούσατε, ἀδελφοί, τὸ διαφανὲς καὶ κάλλιστον, τὸ δωρηθὲν δώρημα
Ἐγκ. 73 ὑπὲρ τοὺς ἄλλους τῷ μάρτυρι παρὰ τῆς ἐνεργούσης ἐν ἑαυτῷ θείας δυνά-
μεως. Οὗτος γὰρ τὴν δρεπάνην τὴν κατὰ τῶν κλεπτῶν ἐκ Ζαχαρίου τοῦ
15 Θεοφόρου παραλαβὼν τὴν αὐτὴν κατὰ τῶν οἰκετῶν τῶν ἀποδιδρασκόν-
των ἐγχειρισθείς, οὕτως πανταχοῦ τῶν μὲν ἐλέγχει τὰ κακουργήματα, τῶν
δὲ συνδεσμεῖ τοὺς πόδας καὶ ἐν οἴῳ δ' ἄν τις προσδράμῃ ἐν τῷ αὐτοῦ
18 ναῷ ἐπιζητῶν ἢ μήνυσιν σκύλων ἢ οἰκετῶν δρασμὸν ἐπισχεθῆναι δεόμε-
νος, ἀρκεῖ πρὸς τοῦτον ἑκατέρων σφραγῖδα μικρὰν λαβεῖν καὶ εἰς τὸν

---

1 ἕως C / πάντα ἐν ἑαυτῶ vac. C / διερευνῶν C / ἀναμιμνήσκεσθαι C *2* αὐτῶ τοῦ V αὐτοῦ C / αὐτὸν V τὸν μὲν C *3* καὶ ἀμφότεροι — Θεόδωρον V εὐμενῶς δὲ τὴν προσφορὰν ἀμφοτρέων ἐδέχετο C

Β΄. — *6* δόντι τροφὴν *διὰ τὸν βοῦν*· διὰ τὸν ἅγιον = *χάριν τοῦ ἁγίου*

Θαῦμα ἑνδέκατον. — *11* περὶ τοῦ μέχρι τοῦ νῦν προσευχομένου C *12* ἠκούσατε C ἀδελφοὶ om. C / τὸ διαφανὲς — δώρημα V τὸ διαφανέστα δωρηθέντα (ἐκ παραδρομῆς ἀντὶ διαφανέστατα δωρηθὲν) C *13* συνεργούσης C / ἐν ἑαυτῶ V αὐτῶ C / θείας om. C *14* οὗτος V ὡς C / *κλέπτων (οὕτω τὰ χ/φα)* καὶ C / ἐκ V καὶ C *15* Θεοδώρου V / τὴν add. δὲ C / κατὰ add. καὶ C των[2] om. C *17* ἐν οἴω δ' ἄν τις V ἐν ᾧ οἷον τις C *17-18* ἐν τῶ αὐτοῦ ναῶ V τὸ αὐτῶ ναῶ C *18* ἐπιζητῶν ἢ μήνυσιν σκύλων V ἐμμηνύσει σκύλων ἐπι⟨ζ⟩ητῶν C· ἐπιζητῶν ἢ *περιέμενέ τις* ἢ ἐπιζητῶν πβλ. καὶ Ἐγκ. 73,15 / οἰκετῶν vac C *17-19* ἐν οἴω — ἑκατέρων· *τὸ χωρίον ἐνταῦθα πρέπει νὰ ἐννοηθῇ οὕτω :* ἐν οἴῳ δ' ἂν αὐτοῦ ναῷ προσδράμῃ ἑκατέρων — *δηλαδὴ τῶν δεομένων τοῦ ἁγίου* — πρὸς τοῦτον ἐκ τῶν δεομένων· *πβλ. καὶ* Ἐγκ. 73,15-16

ἑαυτοῦ οἶκον ταύτην ἐνθησαυρίσασθαι καὶ δι' ἐκείνης ὁ μὲν ὑποχειρίους
ποιήσεται τοὺς συλήσαντας, ὁ δὲ ὡσαύτως τοὺς ἀποδράσαντας.
Ἔχει, ὡς ὁρᾶτε, καὶ τῶν εἰρημένων ἕκαστον τὴν παραδοξοποιΐαν ⟨οὐ⟩ 3
τῆς τυχούσης ἀποδείξεως [ἔχει]. Ὅτι αὐτῷ Χριστῷ τῷ Θεῷ ἡμῶν πρέπει
τιμὴ καὶ προσκύνησις νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν·

BQOL Β΄

Ἕτερον θαῦμα

«μάταιον δρασμὸν ἐπέχεις οἰκετῶν».

B

Συνήθης οὖν ὁ ἅγιος ἐν τοῖς πολλοῖς / αὐτοῦ τέρασι καὶ σημείοις φανε- φ. 75r
ρῶς ἐπιδεικνύων τοῖς πᾶσι ζημίας φανέρωσιν ποιῶν καὶ δρασμὸν οἰκετῶν. 9
Πῶς καὶ τίνι τρόπῳ; Οἱ ἐρχόμενοι ἄνθρωποι ἐν τῷ μνήματι αὐτοῦ μετὰ
πίστεως ἐλιτάνευοον αὐτὸν εἰλικρινῶς περί τινος πράγματος ἢ καὶ ζημίας
καὶ ἐτελεῖτο ἡ λειτουργία καὶ ἔμενεν ὁ ἄνθρωπος ἐκεῖνος ὁ ζητῶν καὶ 12
ὕπνωττεν ἐν τῇ ἐκκλησίᾳ καὶ ὁ μέγας μάρτυς ὄναρ ἐπιφαίνετο καὶ ἐφα-
νέρωνε τὸ πρᾶγμα ἐκεῖνο, ὅπερ ἐζήτα.
Ἄρχων τις εὐλαβής, ἔχων μεγάλην πίστιν καὶ ἀγάπην πρὸς τὸν μέγαν 15
Θεόδωρον, ἀποδράσας τις οἰκέτης αὐτοῦ ἔντιμος καὶ καλὸς καὶ ἀναζητή-
σας αὐτὸν οὐχ εὗρεν. Καὶ ἦν ἐν ἀθυμίᾳ μεγάλῃ καὶ λύπῃ περὶ τοῦ οἰκέ-
του αὐτοῦ. Τρέχει οὖν πρὸς τὸν ἅγιον μετὰ προσευχῆς καὶ λειτουργίας ἐξι- 18
λεούμενος αὐτὸν / περὶ τῆς φανερώσεως τοῦ οἰκέτου. Καὶ μείνας ἐν τῷ ναῷ φ. 75v
τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας οὐκ ἐφαίνετο αὐτῷ ὁ ἅγιος. Καὶ ὁ ἄρχων
ἠδημόνει καὶ ἠγανάκτει. Καὶ τῇ τρίτῃ νυκτὶ ἐπιφανεὶς αὐτῷ ὁ ἅγιος, λέ- 21
γει πρὸς τὸν ἄρχοντα· «τί ἀδημονεῖς καὶ ἀγανακτεῖς καθ' ἡμῶν, ὅτι οὐκ
εἰσακούω ὑμῖν περὶ τοῦ οἰκέτου σου ; οὐκ ἤμην ἐδῶ, ἀλλ' ἐν τῇ Κωνσταν-
τίνου πόλει ἐκελεύθην ὑπὸ τοῦ Θεοῦ ὑπάγειν, ὅτι ἀνὴρ ἅγιος ὀνόματι 24

---

3 οὐ *om.* VC· *πβλ.* Ἐγκ. 74, *appar. critic. κλάδον Δ, ἔνθα τοῦτο παραδίδεται ὑφ' ὅλων τῶν χ/φων*

Β΄. — *6* θαῦμα om. Q post θαῦμα add. τὸ λέγον ἐν τῶ τροπαρίω τοῦ ἁγίου L *8* συνήθης QO σύνηθες B συνήθως L *9* ποιῶν corr. ποιεῖν Y ποιεῖ L *10* τρόπω add. ἄκουσον L / μνήματι Y μνημείω L *11* καὶ om. L *12* ὁ ζητῶν Y ζητῶν καὶ παρακαλῶν L *13* ὁ μέγας — ἐπιφαίτετο Y ἐπεφαίνετο ὁ ἅγιος ἐν ὀνείρω L *14* ἐκεῖνο om. L / ἐζήτα Y ἐζήτει L *15* ἄρχων Y ἀνὴρ γὰρ L / μέγαν BO μέγαν μάρτυρα Q μεγαλομάρτυρα L *17* ἦν BQL ἦναι O *19* BQL τῇ φανερώσει Q *20* ἄρχων Y ἀνὴρ L *21* ἐδημόνει Q *21-22* λέγει BOL λέγων Q *23* εἰσακούω ὑμῖν BO εἰσακούω *νέα γραμμὴ* ων ἡμῖν *εἶτα διαγράφεται τὸ* ων ἡμῖν *καὶ παρ' αὐτῷ προστίθεται* σοι *ἐν* Q εἰσακαύω σοι L / τοῦ σοῦ οἰκέτου Q / ἐδῶ O ὧδε L *κατ' ἀρχὰς* ἐδῶ *εἶτα διορθώνεται εἰς* ὧδε *ἐν* Q *23-24* Κωνσταντινουπόλει L *24* ὑπὸ τοῦ Θεοῦ ὑπάγειν (transp. Q) Y ἀπελθεῖν ὑπὸ τοῦ Θεοῦ L / ἀνὴρ ἅγιος ὀνόματι Y ὁ ἅγιος L

Ἰωσὴφ ὁ Ὑμνογράφος, ἄνθρωπος ἐνάρετος καὶ φοβούμενος τὸν Θεὸν ἀπέθνησκεν. Ὁ πολλὰ τιμήσας καὶ δοξάσας τοὺς ἁγίους ἐν τῷ κόσμῳ
3 τούτῳ, λέγω, προφήτας, ἀποστόλους, ὁσίους καὶ μάρτυρας καὶ πάντας τοὺς εὐαρεστήσαντας Χριστῷ ἄνδρας τε καὶ γυναῖκας, ἀπολυτίκια καὶ κοντάκια συγ⟨γ⟩ράψας αὐτοῖς, ἰδίᾳ γλώττῃ καὶ σοφίᾳ τῇ δοθείσῃ αὐτῷ παρὰ τοῦ
φ. 76r Θεοῦ. / Καὶ διὰ τοῦτο ἐκλήθημεν ἅπαντες τὰ τάγματα τῶν ἁγίων τὴν ἑαυτοῦ ψυχὴν ἀναφέρειν εἰς τὸ ὕψος τοῦ οὐρανοῦ μετὰ τιμῆς καὶ δόξης πολλῆς, ἀντιμίσθιον τῆς ἀγάπης καὶ τῆς τιμῆς, ἧς ἐτίμησεν ἡμᾶς ἐν τῷ κό-
9 σμῳ τούτῳ. Διὰ τοῦτο οὐκ ἤμην ἐδῶ. Περὶ δὲ τοῦ οἰκέτου σου μὴ ἀδημονῇς, ὕπαγε εἰς τόνδε τὸν τόπον καὶ εὑρήσεις αὐτόν. Ἔξυπνος δὲ γενόμενος ὁ ἄρχων θαυμάζων τὴν ἀγάπην τοῦ ἁγίου καὶ τὴν φοβερὰν διήγη-
12 σιν αὐτοῦ καὶ πορευθὺς ἐν τῷ τόπῳ ὅπου εἶπεν ὁ ἅγιος, εὗρε τὸν οἰκέτην αὐτοῦ δοξάζων τὸν Θεὸν καὶ τὸν θεράποντα αὐτοῦ μεγαλομάρτυρα Θεόδωρον.

Γ'

Στουδίτης στρ. ι' 364

Ἴσος οὐδείς σοι τάχιον, μάρτυς, / δεῖξαι δρόμους φευγόντων, / καὶ κλεπτόντων ὁρμάς, / ἡνίκα τις ἐν εὐχῇ λάβῃ σε· / ἄλλο γὰρ δρέπανον σὺ ἐπώφθης, ὃ ἑώρακε πάλαι ὁ Ζαχαρίας / κατὰ κλεπτῶν· / ἀπειλεῖς γὰρ ἀρ-
18 ρήτοις τούτοις ἐκφοβῶν, / ἐφάνης ἐν ἀμφοτέροις, / συμπαθὴς καὶ προστάτης θερμότατος, / παρέχων τὰ πάντα τοῖς πᾶσιν ἁπλῶς / ὡς ἀξίως, καὶ ἔχων τὸ ἄξιον, / πρεσβεύων μὴ παύσῃ ὑπὲρ πάντων ἡμῶν.

Δ'

Πεδιάσιμος σ. 23, 24-25

Τὸ περὶ τοὺς παῖδας διαδιδράσκοντας φυγῆς ἀποτρεπτικόν.

De Lagarde 133,20

Δραπετεύει τις οἰκέτης ... ἐπέχει.

---

2 ἀπέθνησκεν Y ἐτελεύτησεν L / τιμήσας καὶ om. L / ἁγίους add. πάντας QL 3 λέγω προφήτας Y προφήτας λέγω καὶ L / τοὺς add. εὐσεβῶς Q 4 Χριστῷ add. τῷ Θεῷ L 5 συγράψας BO συγγραφάμενος Q γράψας L / δοθείσῃ L δοθεῖσα Y 5-6 παρὰ Θεῷ Q 6 ἅπαντες *κατ' ἀρχὰς καὶ ἐν* Q, *εἶτα διαγράφεται ὑπὸ τῆς αὐτῆς χειρὸς τὸ* τες *καὶ προστίθεται ἄνωθεν ἐν* τα (=ἅπαντα) 6-7 ἑαυτοῦ ψυχὴν Y ψυχὴν αὐτοῦ L 7-8 πολλῆς om. L 9 οὐκ — δὲ om. Q / ἐδῶ Y ὧδε L / δὲ B οὖν L om. O (ἐν Q vac.) 9-10 ἀδημόνει L 10 ἀλλ' ὕπαγε QL / τόνδε BOL τὸν δεῖνα Q 11 ἐθαύμασε L / τοῦ ἁγίου om. L 12 ὅπου Y ἐν ᾧ L / εἶπεν add. αὐτῷ L

ΣΤ'

Μηναῖον

Μάταιον δρασμὸν ἐπέχεις οἰκετῶν.

Ζ'

Κῶδ. Ἄνδρου 40

Εἰς τὴν Κωνσταντινούπολιν ἦτον ναός του, ὁποῦ ὠνομάζετον Φανερωτής, διότις ὅποιος εἶχεν χάσειν τὸν σκλάβον του μόνον νὰ ἤθελεν κοι- 3 μηθῆν εἰς ἐκείνην τὴν ἐκκλησίαν, τὸν εὕρισκεν, ὁποῦ καὶ ἂν ἦτον.

VCR

12. Θαῦμα δωδέκατον

VC

Α'

Περὶ τοῦ ἐμπρησμοῦ τοῦ γεναμένου ἐν τῇ θεοφυλάκτῳ βασιλευούσῃ πόλει. V φ. 119r

Ἐν τῇ θεοφυλάκτῳ καὶ βασιλευομένῃ πόλει διά τινα πάντως παιδείαν Ἐγκ. 74 συνέβη γενέσθαι ἐμπρησμὸν μέγαν καὶ φοβερὸν καὶ πλεῖσται οἰκίαι μετὰ τῶν οἰκούντων κατεφλέχθησαν. Ἦν δὲ ἐν αὐτῇ οἰκητήριον τοῦ ἁγίου μάρ- 9 τυρος Θεοδώρου καὶ ἐγγὺς αὐτοῦ οἰκία μεγάλη διαφέρουσα Σταυρακίου τινὰ πατρίκιον ἀξίᾳ τετιμημένον καὶ 'πατὴρ βασιλέων' ὀνομαζόμενον, ἄνδρα πιστὸν καὶ θεοσεβῆ, πάσῃ εὐσεβείᾳ καὶ ἀρετῇ κεκοσμημένον. Ἔμελλεν 12 καὶ ἡ οἰκία αὐτοῦ συλλαμβάνεσθαι, ποταμοῦ γὰρ δίκην ἔνθεν καὶ ἔνθεν ἡ φλὸξ περιεκύκλου αὐτὴν καὶ εἰς / ὕψος μέγιστον διεγείρετο. Ὁ δὲ φ. 120r εἰρημένος πιστὸς ἀνὴρ ἔστη ἐν μέσῳ τῆς περιλιμναζούσης φλογὸς καὶ τὰς 15 χεῖρας ἐκτείνας εἰς τὸν οὐρανὸν τὸν ἅγιον μάρτυρα ἐπικαλεῖτο γενέσθαι αὐτῷ ὑπέρμαχον καὶ ἀντιλαβέσθαι αὐτοῦ καὶ πρεσβεῦσαι πρὸς τὸν φιλάνθρωπον Θεὸν τοῦ λυτρωθῆναι αὐτοῦ τὴν οἰκίαν τοῦ τοιούτου κινδύνου. 18

---

5 ἢ V θαῦμα ἢ C / περὶ ⟨τοῦ ἐμπρη⟩σμοῦ τοῦ γεναμένου ἐν Κων/πόλει C 7 τινα πα vac. *ἐν* C 9 κατεφλέχθησαν V φλεχθῆναι C / ἦν δὲ ἐν αὐτῇ οἰκητήριον V εὐκτήριος δὲ ἦν τις οἶκος C 10-11 Σταυράκιον τινὰ πατρίκιον V Σπαρακίω τινὶ τῶν πατρικίων C 11 καὶ—ὀνομαζόμενον om. C 11-12 ἀνδρὶ πιστῷ καὶ Θεοφιλεῖ C 12 εὐσεβείᾳ καὶ ἀρετῇ transp. C / ante ἔμελλεν add. ἐν τῷ τοιούτῳ οὖν ἐμπρησμῷ C / ἤμελλεν C 13 οἰκία αὐτοῦ transp. C / συλλαμβάνεσθαι *δέον νὰ θεωρηθῇ ὡς μετάφρασις τοῦ κοινοῦ* πιάνω 14 ἡ φλὸξ om. V / περιεκύκλουν V / αὐτῇ C / μέγα C 16 μεγαλομάρτυρα Θεόδωρον C / ἐπικαλεῖτο πβλ. ἐπιφέρετο σ. 311,10-11 17 αὐτῷ V αὐτὸν C / πρεσβεῦσαι add. ὑπὲρ αὐτοῦ C 18 Θεὸν add. ἡμῶν καὶ C / αὐτοῦ τὴν οἰκίαν transp. C / τοιούτου κινδύνου V κινδύνου τούτου C

Εὐθέως δὲ ὡράθη ὁ ἔνδοξος μάρτυς ἄνω καὶ κάτω περιτρέχων καὶ εἰς ἄλλον ἀπ' ἄλλου τόπου μεταβαίνων καὶ τὸ πῦρ ὑποχωροῦν[τα] καὶ αὐτομάτως
3 σβέννον. Καὶ τὰ μὲν πέριξ πάντα κατεφλέχθη σὺν αὐτῷ δὲ τὸ τοῦ ἁγίου εὐκτήριον, μόνον δὲ ὁ οἶκος, καθάπερ ἦν σῶος, οὕτως καὶ ἀβλαβὴ⟨ς⟩ διέμεινεν. Ὁ οὖν θεοφιλὴς οὗτος Σταυράκιος ὑπὲρ τῆς το-
6 σαύτης αὐτῷ γενομένης παρὰ Θεοῦ διὰ τοῦ μάρτυρος εὐεργεσίας ναὸν ἕτερον τοῦ ἁγίου ἐν τῷ ἰδίῳ οἴκῳ κατεσκεύασε, πάσῃ εὐπρεπείᾳ κεκοσμημένον, καὶ τῷ ἁγίῳ μάρτυρι εὐχαριστίας προσήγαγεν, τὸν μέχρι τῆς σήμε-
9 ρον παρὰ πάντων σεβαζόμενον καὶ ἰάσεων μεγάλων ἐν αὐτῷ ἐπιτελουμένων εἰς δόξαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ εἰς τιμὴν τοῦ ἁγίου καὶ ἐνδόξου μάρτυρος Θεοδώρου.

Β'

R
φ.142ᵛ Ἐμπρησμοῦ καταλαβόντος τὴν Πόλιν ἅπασαν, εἰ μὴ τῇ προνοίᾳ τοῦ μάρτυρος τοῦτο κατεπράυνεν, ἀπολώλει ἄν, ὡς καὶ αὐτὸν τὸν ναὸν τοῦ ἁγίου κατακρατῆσαι τὸν μικρότερον, αὐλὴν μεγέθει διαπρεπῆ. Ἡ φλὸξ
15 περιεκύκλου μὲν τὴν αὐλὴν ποταμοῦ δίκην πηγάζουσα καὶ τὸ εἰς //

Γ'

Στουδίτης στρ. ιγ' σ. 365

Ὕστατον φόβον τῆς πυρκαϊᾶς, / ὅπου ὤφθης συντρέχων, / καὶ σβεννύων αὐτὴν / τῷ πίστει σε προσκαλέσαντι· / οὕτω παρέχεις πάντοτε
18 πᾶσι / σὲ τὸν μάρτυρα θερμῶς ἐπιβοῶσιν.

---

